ἐπικλύσεις, οὐκ ἄλλο τι οὐδὲν ἐκεῖ σπείροντάς ἐστι φοβηθῆναί ποτε· ἀλλὰ πάσης ἀνωτέρω βλάβης ἕστηκε τὰ ἐκεῖ καταβαλλόμενα σπέρματα. Ὅταν οὖν μήτε πόνος, μήτε κίνδυνος, μήτε ὑποψία, μήτε ὑποτυχία τις ᾖ, καὶ πολλῷ πλείονα τῶν καταβαλλομένων γένηται τὰ φυόμενα, καὶ τοσαῦτα βλαστάνῃ ἀγαθὰ, Ὅσα οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη, πῶς οὐκ ἂν εἴη ῥᾳθυμίας ἐσχάτης, τὸ πλέον ἀφέντας, τὸ ἔλαττον διώκειν, καὶ τὸ ἀσφαλὲς καταλιπόντας, τὸ ἄπιστον καὶ κινδύνων γέμον καὶ πολλὰς ἔχον ἀποτυχίας μετιέναι; Τίς γὰρ ἡμῖν ἔσται συγγνώμη τοῦτο ποιοῦσι, ποία δὲ ἀπολογία; Πενίαν προβαλλόμεθα πάντως· ἀλλ' οὐκ ἐσμὲν τῆς χήρας ἐκείνης πενέστεροι, ἣ δύο λεπτὰ ἔχουσα μόνα, καὶ ταῦτα κατεβάλετο. Ζηλώσωμεν τοίνυν ἐκείνης τὸν πλοῦτον, μιμησώμεθα τῆς προαιρέσεως τὴν μεγαλοψυχίαν, ἵνα καὶ τῶν ἐκείνῃ ἀποκειμένων ἀγαθῶν ἐπιτύχωμεν· ὧν γένοιτο πάντας ἡμᾶς καταξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Universidad Pontificia de Salamanca

plaga de la langosta, ni a las inundaciones de los ríos [71], ni a ninguna otra cosa [72]; antes bien, la semilla allí echada fructificó en toda la maleza anterior. Por consiguiente, cuando no exista esfuerzo, ni peligro, ni desconfianza, ni perjuicio alguno, y con mucho sean mayores las semillas nacidas que las esparcidas y esos gérmenes sean buenos, *a cuantas ni el ojo vio, ni el oído oyó, ni al corazón del hombre llegó* [73], ¿no sería, acaso, propio de una apatía extrema perseguir lo más insignificante en tanto se deja lo que es más importante y, mientras se abandona lo que es seguro, estar expuesto a lo inverosímil y a lo que está lleno de peligros y a lo que posee muchos infortunios? Pues ¿qué indulgencia tendrán los que hacen esto, qué defensa?

Pongamos como modelo perfecto la pobreza: no somos más pobres que aquella viuda [74] que, aun teniendo sólo dos ochavos [75], los echó. Emulemos, entonces, la riqueza de aquélla, imitemos su magnanimidad a fin de alcanzar los bienes que están reservados para ella: ¡ojalá todos nosotros seamos dignos de éstos!, por la gracia y el amor de nuestro Señor Jesucristo y juntamente con Él, para el Padre y el Espíritu Santo sean la gloria, el poder, el honor, ahora y siempre, por los siglos de los siglos. Amén.

Universidad Pontificia de Salamanca

ΛΟΓΟΣ Β'.

Τί δήποτε ἐπὶ μὲν ἡλίου καὶ σελήνης καὶ οὐρανοῦ καὶ τῶν ἄλλων εἶπε, Γενηθήτω· ἐπὶ δὲ τοῦ ἀνθρώπου, Ποιήσωμεν; καὶ τί ποτέ ἐστι τὸ, Κατ' εἰκόνα.

α'. Ἆρα μέμνησθε τῶν ζητημάτων τῶν πρώην προτεθέντων ὑμῖν; Εἰς τοσοῦτον γὰρ ἡμᾶς ἀπονοίας καὶ τόλμης ἐπήρατε, ὡς καὶ ζητημάτων ἤδη κατατολμᾷν· μᾶλλον δὲ οὐκ ἂν εἴη τόλμης, οὐδὲ ἀπονοίας τοῦτο. Οὐ γὰρ οἰκείᾳ δυνάμει θαῤῥήσαντες, ἀλλὰ ταῖς εὐχαῖς **[587]** τῶν προέδρων καὶ ταῖς ὑμετέραις τὸ πᾶν ἐπιῤῥίψαντες ἀπεδυσάμεθα πρὸς τὸ στάδιον. Εὐχὴ δὲ Ἐκκλησίας τοσοῦτον δύναται, ὡς εἰ καὶ λίθων ἦμεν ἀφωνότεροι, πτεροῦ παντὸς κουφοτέραν ἡμῖν τὴν γλῶτταν ἐργάσασθαι. Ὥσπερ γὰρ ζέφυρος εἰς μέσα τῆς νηὸς ἐμπεσὼν τὰ ἱστία, βέλους ὀξύτερον παραπέμπει τὸ σκάφος· οὕτω καὶ Ἐκκλησίας εὐχὴ εἰς τὴν τοῦ λέγοντος ἐμπεσοῦσα γλῶτταν, ζεφύρου σφοδρότερον παραπέμπει τὸν λόγον. Διὸ καὶ ἡμεῖς καθ' ἑκάστην ἡμέραν θαῤῥοῦντες ἀποδυόμεθα. Εἰ γὰρ ἐπὶ τῶν ἔξωθεν ἀγώνων δέκα τις μόνον, ἢ εἴκοσι ἔχων ἐραστὰς ἐν δήμῳ τοσούτῳ, μετὰ προθυμίας εἰς τὸν ἀγῶνα κάτεισι· πολλῷ μᾶλλον ἡμεῖς, ὅπου οὐ δέκα, οὐδὲ εἴκοσι μόνον, ἀλλ' ἅπαν ἡμῖν τὸ θέατρον ἐξ ἀδελφῶν καὶ πατέρων σύγκειται, θαῤῥοῦντες τοῦτο ποιήσομεν. Καίτοι γε ἐπὶ τῶν ἔξωθεν ἀγώνων οὐδὲν ἂν μέγα καρπώσαιτο ὁ ἀγωνιστὴς παρὰ τοῦ θεατοῦ, ἀλλ' ἢ ὅσον βοῆσαι ἐκεῖνον, καὶ θαυμάσαι τὰ γεγενημένα, καὶ φιλονεικῆσαι τοῖς ἀντιλέγουσιν ἄνω καθήμενον· καταβῆναι δὲ εἰς τὸ στάδιον, καὶ χεῖρα ὀρέξαι, καὶ ἑλκύσαι πόδα τοῦ ἀνταγωνιζομένου, ἢ ἄλλο τι τοιοῦτον ἐπιδείξασθαι, τούτοις οὐ θέμις. Οἱ γὰρ τοὺς ἀγῶνας ἐκείνους ἐξ ἀρχῆς διαταξάμενοι, σκόλοπας πήξαντες ὀξεῖς, καὶ σχοινία κύκλῳ περιβαλόντες, οὕτω τῶν θεατῶν τὴν μανίαν εἴργουσι. Καὶ τί θαυμαστὸν, εἰ θεατῇ καταβῆναι οὐ θέμις, ὅπουγε καὶ τὸν παιδοτρίβην ἔξω παρὰ τὴν κόνιν καθίσαντες, πόῤῥωθεν τὴν ἀπὸ τῆς διδασκαλίας συμμαχίαν εἰσάγειν τοῖς ἀγωνιζομένοις κελεύουσι, πλησίον δὲ οὐκ ἐῶσιν ἐλθεῖν; Ἀλλ' οὐκ ἐνταῦθα οὕτως·

Universidad Pontificia de Salamanca

## SERMÓN SEGUNDO

*Por qué dijo, por una parte,* Haya, *en el sol*[76]*, en la luna*[77]*, en el cielo*[78] *y en otras cosas, y, en cambio,* Hagamos *en el hombre*[79]*. Y de qué forma* A imagen.

### *1. La fuerza de la oración en la Iglesia*[80]

¿Acaso os acordáis de las cuestiones que recientemente os plantearon? En efecto, con gran arrogancia y audacia nos provocasteis para que abordáramos las cuestiones intrépidamente: sin duda, esta tarea no es propia ni de la audacia ni de la arrogancia. Sin confianza alguna en la propia fuerza, encomendando todo a las oraciones **[587]** de los obispos y a las vuestras, nos presentamos desnudos ante el estadio. En efecto, una súplica de la Iglesia es capaz de tanto que, aunque seamos más mudos que piedras, articulará nuestra lengua más ligeramente que cualquier pluma. Pues lo mismo que el céfiro cayendo en medio del velamen de la nave lanza a ésta más veloz que un dardo, así también una plegaria de la Iglesia puesta en boca del orador, convierte al discurso en más vehemente que el céfiro. Por el mismo motivo también nosotros, a diario y confiados, nos presentamos desnudos a la contienda.

Pues si en los certámenes de fuera[81] alguien con sólo diez o veinte amigos de entre el público se lanza con valentía a la contienda, mucho más nosotros haremos esto confiados, que no contamos con diez ni veinte únicamente, sino que nuestros espectadores son hermanos y padres. En verdad, en este tipo de contiendas, el luchador no sacaría más provecho que el espectador, a no ser que aquél clame o admire los asuntos llevados a cabo y rivalice con los que le contradicen, estando en un puesto superior al espectador. Pero descender al estadio, extender las manos y arrastrar del pie al adversario, o mostrar abiertamente cualquier otra cosa, no les está permitido en absoluto. En efecto, estos que desde el principio dispusieron aquellas luchas, tras clavar estacas puntiagudas y acordonar el recinto, ponen así límites al entusiasmo de los espectadores.

¿Y qué tiene de extraño que no sea lícito al espectador descender al estadio cuando, tras colocar fuera, aunque cerca, al entrenador, ordenan a los luchadores afrontar el certamen lejos de las instrucciones de aquél y no les permiten acercarse? Pero aquí no sucede de este

Universidad Pontificia de Salamanca

ἀλλὰ καὶ διδασκάλῳ καὶ θεατῇ καταβῆναι πρὸς ἡμᾶς ἔνι, καὶ ἐγγὺς στῆναι τῇ διαθέσει, καὶ διὰ τῶν εὐχῶν ἡμῖν συγκροτῆσαι τὴν δύναμιν. Δεῦρο γοῦν κατ' αὐτοὺς ἐκείνους τοὺς ἀθλητὰς τῶν παλαισμάτων ἁψώμεθα. Καὶ γὰρ ἐπειδὰν ἐκεῖνοι μέσους ἑαυτοὺς κατασχόντες, ὑπὸ τῆς βίας τῶν ἀμμάτων πρὸς τὸν ἔξωθεν αὐτοὺς περιεστῶτα ἐξακοντισθῶσιν ὄχλον διὰ τὴν τοῦ τόπου στενοχωρίαν, λύσαντες τὰ ἅμματα, πρὸς τὸν τῆς ἀγωνίας πάλιν ἐπανέρχονται τόπον· εἶτα ἐπανελθόντες οὐκ ὀρθοὶ συμπλέκονται πάλιν, ἀλλ' ἐν ἐκείνῳ τῷ τρόπῳ τῶν δεσμῶν ἑαυτοὺς καταστήσαντες, ἐν ᾧ καὶ ὄντες διελύθησαν. Ἐπεὶ οὖν καὶ ἡμᾶς ἡ τόπου στενοχωρία καταλῦσαι τὸν λόγον ἠνάγκασε, φέρε πρὸς τὸν τόπον τῆς ἀγωνίας ἐπανελθόντες, τὰ ἅμματα λύσωμεν ἀπὸ τῶν τήμερον ἀναγνωσθέντων ἡμῖν. Καὶ εἶπεν ὁ Θεὸς, φησὶ, Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν.

Ἓν πρῶτον τοῦτο ἄξιον ζητῆσαι, τί δήποτε, ὅτε μὲν ὁ οὐρανὸς ἐγίνετο, οὐδαμοῦ τὸ, Ποιήσωμεν, εἴρηται, ἀλλὰ, Γενηθήτω οὐρανὸς, Γενηθήτω φῶς, καὶ καθ' ἕκαστον τῆς κτίσεως μέρος οὕτως· ἐνταῦθα δὲ τὸ, Ποιήσωμεν, πρόσκειται μόνον, βουλὴ καὶ σκέψις καὶ πρὸς ἕτερόν τινα ὁμότιμον ἀνακοίνωσις; Τίς ποτε ἄρα ἐστὶν ὁ δημιουργεῖσθαι μέλλων, ὅτι τοσαύτης ἀπολαύει τιμῆς; Ἄνθρωπός ἐστι, τὸ μέγα ζῶον καὶ θαυμαστὸν, καὶ τῆς κτίσεως ἁπάσης τῷ Θεῷ τιμιώτερον, δι' ὃν οὐρανὸς καὶ γῆ καὶ θάλαττα καὶ τὸ λοιπὸν ἅπαν τῆς κτίσεως σῶμα· ἄνθρωπος, οὗ τῆς σωτηρίας οὕτως ὁ Θεὸς ἠράσθη, ὡς μηδὲ τοῦ Μονογενοῦς φείσασθαι δι' αὐτόν· οὐ γὰρ ἀπέστη πάντα ποιῶν καὶ πραγματευόμενος, ἕως αὐτὸν ἀναγαγὼν ἐκάθ-
**[588]** ισεν ἐν δεξιᾷ ἑαυτοῦ. Καὶ βοᾷ Παῦλος λέγων· Συνήγειρε καὶ συνεκάθισεν ἡμᾶς ἐν δεξιᾷ ἑαυτοῦ ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ. Διὰ τοῦτο βουλὴ καὶ σκέψις καὶ ἀνακοίνωσις, οὐκ ἐπειδὴ ὁ Θεὸς βουλῆς δεῖται· μὴ γένοιτο· ἀλλὰ τῷ σχήματι τῶν ῥημάτων τὴν εἰς τὸν γενόμενον ἡμῖν ἐνδείκνυται τιμήν. Καὶ πῶς, φησὶν, εἰ τοῦ κόσμου τιμιώτερός ἐστι παντὸς, ὕστερον τοῦ κόσμου παράγεται; Δι' αὐτὸ τοῦτο, ἐπειδὴ τοῦ κόσμου τιμιώτε-

Universidad Pontificia de Salamanca

modo, antes al contrario, ya sea instructor, ya espectador, le es permitido dirigirse a nosotros y colocarse cerca a disposición [82], y, por medio de plegarias, medir contra nosotros su destreza.

Según esto, ¡vamos! emprendamos la contienda al modo de aquellos atletas de la palestra. En efecto, aquéllos, una vez que han ocupado los lugares centrales, después de que, por la presión que ejercen los lazos que acordonan el lugar, han sido arrastrados por la falta de espacio hacia la muchedumbre que fuera los rodea, regresan hacia el lugar de la contienda tras desatar esos acordonamientos. Vueltos a su puesto, no reanudan la lucha alineados, sino que se colocan en el mismo lugar de las cuerdas, el que antes ocupaban y en el que fueron separados.

Puesto que también a nosotros la falta de espacio nos obligó a poner fin al sermón, ¡vamos!, regresados al lugar de la lucha, desatemos los acordonamientos de cuanto nos ha sido leído hoy [83]. *Y dijo Dios,* —dice—, *Hagamos al hombre a imagen y semejanza nuestra* [84].

*Por qué dijo Dios* Hagamos al hombre *no* Haya hombre [85]

[86] En principio, es apropiado preguntarse lo siguiente: ¿por qué cuando surgió el cielo, en ninguna parte aparece el término *Hagamos,* sino *Haya cielo, Haya luz* y así uno por uno cada elemento de la naturaleza? En cambio, en ese punto sólo se añade *Hagamos;* ¿se trata, acaso, de una decisión, reflexión, de un acuerdo con un semejante? ¿Quién, entonces, es verdaderamente el que va a ser creado, puesto que disfruta de un honor tal?: es el hombre, un ser grande y maravilloso, más honorable a los ojos de Dios que la creación entera, por quien existen cielo, tierra, mar y el resto de la creación. El hombre, cuya salvación Dios quiso de tal manera que, por él, ni la vida del Unigénito fue perdonada: pues no renunció a hacer y emprender nada hasta que, tras ascenderlo, **[588]** lo sentó a su derecha. En efecto, Pablo clama diciendo: *Resucitó y nos sentó a su derecha en los cielos en Cristo Jesús* [87]. De allí la decisión, la reflexión, el acuerdo; no porque Dios carezca de voluntad, ¡nada más lejos de la realidad!, sino porque con estas palabras nos demuestra la dignidad de ése que aparece.

Y ¿cómo —dice— si es lo más distinguido del mundo entero, surge después del mundo [88]? Por esto mismo, porque es lo más hono-

Universidad Pontificia de Salamanca

ρός ἐστιν. Ὥσπερ γὰρ βασιλέως εἰς τινα πόλιν ἐλαύνειν μέλλοντος, στρατηγοὶ καὶ ὕπαρχοι καὶ δορυφόροι καὶ πάντες οἱ δοῦλοι προφθάνουσιν, ἵνα τὰ βασίλεια παρασκευάσαντες, καὶ πᾶσαν τὴν ἄλλην εὐτρεπίσαντες θεραπείαν, μετὰ πολλῆς τῆς τιμῆς ὑποδέξωνται τὸν βασιλέα· οὕτω δὴ καὶ ἐνταῦθα, καθάπερ βασιλέως εἰσάγεσθαι μέλλοντος, προέφθασεν ὁ ἥλιος, προέδραμεν ὁ οὐρανὸς, προεισῆλθε τὸ φῶς, ἅπαντα γέγονε καὶ εὐτρεπίσθη, καὶ τότε ὁ ἄνθρωπος μετὰ πολλῆς ὕστερον εἰσάγεται τῆς τιμῆς.

Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα. Ἀκουέτω ὁ Ἰουδαῖος. Πρὸς τίνα φησὶν ὁ Θεὸς, Ποιήσωμεν; Μωϋσέως ἐστὶ τὰ γράμματα, Μωϋσέως, ᾧ πιστεύειν ψευδόμενοί φασι. Καὶ ὅτι ψεύδονται καὶ οὐ πιστεύουσιν, ἄκουε τοῦ Χριστοῦ διελέγχοντος αὐτοὺς καὶ λέγοντος· Εἰ ἐπιστεύετε Μωϋσεῖ, ἐπιστεύετε ἂν ἐμοί. Νῦν δὲ παρ' ἐκείνοις μὲν τὰ βιβλία, παρ' ἡμῖν δὲ τῶν βιβλίων ὁ θησαυρός· παρ' ἐκείνοις τὰ γράμματα, παρ' ἡμῖν καὶ τὰ γράμματα καὶ τὰ νοήματα. Πρὸς τίνα οὖν, εἰπὲ, λέγει, Ποιήσωμεν ἄνθρωπον; Πρὸς ἄγγελον, φησὶν, ἢ πρὸς ἀρχάγγελον ἁπλῶς φθέγγεται. Καθάπερ γὰρ οἱ μαστιγίαι τῶν οἰκετῶν παρὰ τῶν δεσποτῶν ἐγκαλούμενοι, καὶ ἐξ εὐθείας οὐκ ἔχοντες ἀποκρίνασθαι, τὸ ἐπελθὸν ἅπαν προσφέρουσιν· οὕτω δὴ καὶ ὑμεῖς, Πρὸς ἄγγελον, φατὲ, καὶ ἀρχάγγελον εἶπε. Ποῖον ἄγγελον; ποῖον ἀρχάγγελον; Οὐ γὰρ ἀγγέλων ἐστὶ τὸ δημιουργεῖν, οὐδὲ ἀρχαγγέλων τὸ ἐργάζεσθαι ταῦτα. Τίνος δὲ ἕνεκεν, ὅτε μὲν τὸν οὐρανὸν ἐποίησεν, οὐκ εἶπεν ἀγγέλῳ καὶ ἀρχαγγέλῳ, ἀλλὰ δι' ἑαυτοῦ παρήγαγεν; ὅτε δὲ τὸ τιμιώτερον οὐρανοῦ καὶ παντὸς κόσμου παρήγαγε ζῶον, τὸν ἄνθρωπον, τότε τοὺς δούλους κοινωνοὺς λαμβάνει τῆς δημιουργίας;

β'. Οὐκ ἔστι ταῦτα, οὐκ ἔστι· ἀγγέλων γὰρ τὸ παρεστάναι, οὐ τὸ δημιουργεῖν· ἀρχαγγέλων τὸ λειτουργεῖν, οὐχὶ τὸ γνώμης κοινωνεῖν καὶ βουλῆς. Ἄκουσον τί φησιν Ἠσαΐας περὶ τῶν Σεραφὶμ δυνάμεων, τῶν ἀνωτέρω τῶν ἀρχαγγέλων· Εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ τὰ Σεραφὶμ παρειστήκεισαν κύκλῳ

Universidad Pontificia de Salamanca

rable del mundo. Pues de la misma manera que, cuando el rey tiene previsto dirigirse a una ciudad, generales, gobernadores, guarda de escolta y todos los esclavos se adelantan para que, preparada la corte y dispuesto el resto de la comitiva, reciban al rey con todo honor, así, en efecto, y en este punto, como cuando el rey está dispuesto a hacer su entrada, el sol se adelantó, se adelantó el cielo, apareció antes la luz, todo fue creado y dispuesto, y fue entonces, después, cuando el hombre apareció con todo honor [89].

*Discute el término* Hagamos *para llevar a los enemigos de la verdad a conocer al Unigénito Hijo de Dios. Refuta el antropomorfismo* [90]

*Hagamos al hombre a imagen.* Que escuche el judío [91]. ¿A quién dice Dios *Hagamos?* Los escritos son de Moisés, de Moisés, a quien, engañándose, dicen creer. Que también mienten y no creen, escucha a Cristo que les contradice y dice: *Si creyerais en Moisés, me creeríais a mí* [92]. Los libros ahora están con aquellos, pero con nosotros está el tesoro de los libros; con aquéllos los escritos, con nosotros no sólo los escritos, sino también su sabiduría. Así pues, ¿a quién dice '*¿Hagamos al hombre?*'. Se lo dice simplemente —dicen— a un ángel o a un arcángel.

Pues lo mismo que los esclavos inútiles cuando son acusados por sus señores, ya que no pueden contestar francamente, dicen todo lo que se les ocurre, así también vosotros decís que habló a un ángel y a un arcángel [93]. ¿Qué ángel?, ¿qué arcángel? Pues ni es propio de ángeles crear, ni de arcángeles llevar a cabo esas cosas. ¿Por qué cuando Él creó el cielo, no lo dijo a un ángel ni a un arcángel, sino que por sí mismo lo hizo aparecer? ¿Por qué cuando verdaderamente hizo aparecer a una criatura más digna que el cielo y que todo el mundo, al hombre, entonces acoge como colaboradores de la creación a ésos que son sus siervos?

2. Esto no es así, no lo es. Pues socorrer es lo propio de ángeles, no crear. Servir lo es de arcángeles, no tomar parte de una opinión o decisión.

Escucha lo que dice Isaías acerca de las competencias de los serafines, de los arcángeles que están más arriba: *Vi al Señor sentado en un trono excelso y elevado y unos serafines se habían colocado alrededor,*

Universidad Pontificia de Salamanca

αὐτοῦ· ἓξ πτέρυγες τῷ ἑνὶ, καὶ ἓξ πτέρυγες τῷ ἑνί· καὶ ταῖς μὲν δυσὶ πτέρυξι κατεκάλυπτον τὰ πρόσωπα ἑαυτῶν, ἀποτειχίζουσαι δηλονότι τὰς ὄψεις, διὰ τὸ μὴ δύνασθαι τὴν ἐκ τοῦ θρόνου φερομένην ἀστραπὴν ὑποδέξασθαι. Τί λέγεις; Τὰ μὲν Σεραφὶμ παρεστήκασι, καὶ ἐν θαύματι τοσούτῳ εἰσὶ καὶ ἐκπλήξει, καὶ ταῦτα συγκατάβασιν Θεοῦ βλέποντα· ἄγγελοι δὲ καὶ γνώμης κοινωνοῦσιν αὐτῷ, καὶ σκέψεως μετέχουσιν; Ἀλλ' οὐκ ἂν ἔχοι λόγον. Ἀλλὰ τίς ἐστι πρὸς ὅν φησι, Ποιήσω- **[589]** μεν ἄνθρωπον; Ὁ θαυμαστὸς σύμβουλος, ὁ ἐξουσιαστὴς, ὁ Θεὸς ὁ ἰσχυρὸς, ὁ ἄρχων τῆς εἰρήνης, ὁ πατὴρ τοῦ μέλλοντος αἰῶνος, αὐτὸς ὁ μονογενὴς τοῦ Θεοῦ Υἱός. Πρὸς ἐκεῖνον τοίνυν λέγει, Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν. Οὐδὲ γὰρ εἶπε τὴν ἐμὴν καὶ τὴν σὴν, ἢ τὴν ἐμὴν καὶ τὴν ὑμῶν, ἀλλὰ, Κατ' εἰκόνα ἡμετέραν, μίαν δηλῶν τὴν εἰκόνα καὶ μίαν τὴν ὁμοίωσιν· Θεοῦ δὲ καὶ ἀγγέλων οὐκ ἔστιν εἰκὼν μία, οὐδὲ ὁμοίωσις μία. Πῶς γὰρ ἂν εἴη τοῦ Δεσπότου καὶ τῶν λειτουργῶν εἰκὼν μία καὶ ὁμοίωσις; Ὥστε πάντοθεν ὑμῖν ὁ λόγος ἐλήλεγκται· καὶ γὰρ ἀρχῆς εἰκόνα ἐδήλωσεν ἐνταῦθα, καθὼς καὶ τὸ ἑξῆς δηλοῖ. Εἰπὼν γὰρ Κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν, ἐπήγαγε, Καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης· ἀρχὴ δὲ Θεοῦ καὶ ἀγγέλων οὐκ ἂν εἴη μία. Πῶς γὰρ, τῶν δούλων καὶ τοῦ Δεσπότου, τῶν λειτουργῶν καὶ τοῦ κελεύοντος; Ἀλλὰ καὶ ἕτεροι πάλιν ἡμῖν ἐπιφύονταί τινες λέγοντες, ὅτι εἰκόνα ὁ Θεὸς ἔχει τοιαύτην, οἵαν καὶ ἡμεῖς, κακῶς νοοῦντες τὸ εἰρημένον. Οὐ γὰρ οὐσίας εἶπεν εἰκόνα, ἀλλὰ ἀρχῆς εἰκόνα, καθὼς δηλώσομεν ἐκ τῶν ἑξῆς ἐπαγομένων. Ὅτι γὰρ οὐκ ἔστι τὸ Θεῖον ἀνθρωπόμορφον, ἄκουσον τοῦ Παύλου λέγοντος· Ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων· γυνὴ δὲ δόξα ἀνδρός ἐστι· διὸ ὀφείλει, φησὶ, κάλυμμα ἔχειν ἐπὶ τῆς κεφαλῆς. Καὶ μὴν εἰ εἰκόνα ἐνταῦθα τοῦτο εἶπε, τὸ ἀπαράλλακτον τῆς μορφῆς τῆς πρὸς τὸν Θεὸν δηλῶν, καὶ διὰ τοῦτο εἰκὼν ἄνθρωπος Θεοῦ καλεῖται, ὅτι ὁ Θεὸς οὕτω διατετύπωται· οὐκοῦν κατ' ἐκείνους οὐκ ἐχρῆν μόνον τὸν ἄνδρα εἰκόνα λέγεσθαι, ἀλλὰ καὶ τὴν γυναῖκα. Γυναικὸς γὰρ καὶ ἀνδρὸς εἷς ὁ τύπος καὶ ὁ χαρακτὴρ, καὶ ἡ ὁμοίωσις μία.

Universidad Pontificia de Salamanca

*con seis alas uno y seis alas el otro, y con dos alas se cubrían la faz* [94]. Esto es evidente: se protegen los ojos al no poder soportar el resplandor que procede del trono. ¿Qué dices? Los serafines están a su lado y están inmersos en tanta admiración y estupor al contemplar la bondad de Dios; en cambio, ¿son los ángeles los que están de acuerdo con Él y participan en su decisión? De ningún modo sería razonable [95].

Pero ¿quién es aquél al que dijo *Hagamos* **[589]** *al hombre? Admirable consejero, el que tiene potestad, el Dios poderoso, el príncipe de la paz, el padre de los siglos venideros* [96], éste, el Unigénito Hijo de Dios. Así pues dice a Aquél, *Hagamos al hombre a imagen y semejanza nuestra* [97]. En efecto, ni dice a la mía ni a la tuya, o a la mía y a la vuestra, sino *A nuestra imagen,* indicando una sola imagen y una sola semejanza. No existe, en cambio, una imagen de Dios y de los ángeles, ni una sola semejanza. Pues ¿cómo podría existir una imagen y semejanza del Señor y de los sirvientes?

De modo que vuestro argumento ha sido rechazado en todos los puntos. Desde el principio demostró qué quiere decir «a imagen», como también lo demuestra con lo siguiente. Después de decir *A imagen y a semejanza,* añade *Y manden en los peces del mar* [98]. En consecuencia, el poder de Dios y el de los ángeles no sería uno sólo. Pues ¿cómo podría ser uno el de los esclavos y el del Señor, el de los sirvientes y el del que ordena?

Mas, de nuevo, surgen otros que, malinterpretando cuanto se dijo, afirman que Dios posee una imagen como la nuestra. Pues no dijo a imagen de su naturaleza, sino a imagen del poder, como demostraremos con lo que seguidamente añadimos. Que la divinidad no es antropomórfica, escucha lo que dice Pablo: *El hombre no debe cubrirse la cabeza, pues es imagen y reflejo de Dios; en cambio la mujer es reflejo del hombre* [99]. *Por lo que debe* —afirma— *tener un velo* [100] *sobre su cabeza* [101].

Y en efecto, si en este lugar dijo a imagen, dando a entender la semejanza en la forma con Dios, también por esto a la imagen de Dios se le denomina hombre, porque así se ha representado a Dios. Según ellos, sin embargo, no era preciso decir únicamente a imagen del hombre, sino también de la mujer. Pues la forma y el carácter de la mujer y del hombre es uno y sólo una la imagen.

Universidad Pontificia de Salamanca

Τίνος οὖν ἕνεκεν ὁ ἀνὴρ εἰκὼν τοῦ Θεοῦ λέγεται, ἡ γυνὴ δὲ οὐκέτι; Ὅτι οὐ τὴν εἰκόνα τὴν ἐν τῇ μορφῇ λέγει, ἀλλὰ τὴν εἰκόνα τὴν κατὰ τὴν ἀρχήν, ἣν ὁ ἀνὴρ ἔχει μόνος, οὐκέτι δὲ καὶ ἡ γυνή. Οὗτος μὲν γὰρ οὐδενὶ ὑποτέτακται· ἐκείνη δὲ ὑπὸ τοῦτον γέγονε, καθὼς ὁ Θεός φησι· Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. Διὰ τοῦτο ὁ μὲν ἀνὴρ εἰκὼν τοῦ Θεοῦ, ἐπειδὴ οὐδένα ἔχει ἀνώτερον, καθάπερ οὐδὲ τοῦ Θεοῦ ἀνώτερός τίς ἐστιν, ἀλλὰ πάντων ἄρχει· ἡ γυνὴ δὲ δόξα τοῦ ἀνδρὸς, ἐπειδὴ τῷ ἀνδρὶ ὑποτέτακται. Καὶ πάλιν ἀλλαχοῦ φησιν· Οὐκ ὀφείλομεν χρυσῷ, ἢ ἀργύρῳ, ἢ λίθῳ, ἢ χαράγματι τέχνης, ἢ ἐνθυμήσεως ἀνθρώπου νομίζειν τὸ Θεῖον εἶναι ὅμοιον. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· Οὐ μόνον τοὺς ὁρωμένους τύπους ἐκβέβηκε, φησὶ, τὸ Θεῖον, ἀλλ' οὐδὲ διάνοια διατυπῶσαι τὸ τοιοῦτον δύναιτ' ἄν, ὁποῖός ἐστιν ὁ Θεός. Πῶς οὖν ἀνθρώπου Θεὸς μορφὴν ἔχειν δύναιτ' ἄν, ὁπότε ὁ Παῦλος μηδὲ διάνοιαν εἶναι μηδεμίαν τὴν δυναμένην τυπῶσαι παρ' ἑαυτῇ λέγει τοῦ Θεοῦ τὴν οὐσίαν; Τὴν γὰρ ἡμετέραν μορφὴν καὶ τὸν τύπον ἅπαντες ῥᾳδίως παρ' ἑαυτοῖς ἀνατυπώσαιμεν ἂν κατὰ τοὺς λογισμούς. Πάλιν τοὺς περὶ ἐλεημοσύνης ἐπαγαγεῖν λόγους καὶ νῦν ἐβουλόμην, ἀλλ' ὁ καιρὸς ἡμᾶς οὐκ ἀφίησι· διὸ πρὸς σιγὴν τρέψωμεν λοιπὸν ἑαυτοὺς, ἐκεῖνο παρεγγυήσαντες ὑμῖν, μετὰ ἀκριβείας ἅπαντα κατέχειν τὰ εἰρημένα, καὶ πολλὴν τῆς ὀρθῆς πολιτείας ποιεῖσθαι τὴν πρόνοιαν, ἵνα μὴ **[590]** μάτην καὶ εἰκῇ ἐνταῦθα συλλεγώμεθα. Κἂν γὰρ δογμάτων ὀρθότητα διατηρῶμεν, τῆς τῶν ἔργων ἀρετῆς μὴ προσούσης, πάντως ἐκπεσούμεθα τῆς αἰωνίου ζωῆς. Οὐ πᾶς γὰρ, φησὶν, ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. Ποιῶμεν οὖν τὸ θέλημα τοῦ Θεοῦ μετὰ σπουδῆς ἁπάσης καὶ προθυμίας, ἵνα δυνηθῶμεν εἰς τοὺς οὐρανοὺς εἰσελθεῖν, καὶ τῶν ἀποκειμένων ἀγαθῶν τοῖς ἀγαπῶσι τὸν Θεὸν ἐπιτυχεῖν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Universidad Pontificia de Salamanca

¿Por qué se dice, entonces, que el hombre es imagen de Dios, en cambio la mujer no?: porque no se refiere a la imagen relativa a la forma, sino a la imagen referida al poder, que sólo posee el hombre y de ningún modo la mujer. Pues éste no se ha sometido a nadie, en cambio aquélla ha estado bajo éste, como dice Dios: *Hacia tu marido irá tu apetencia y él te dominará* [102]. Por esto el hombre es imagen de Dios, ya que no posee nada más sublime, lo mismo que no existe nadie más excelso que Dios que lo domina todo. Por el contrario, la mujer es gloria del hombre, ya que le está sometida.

Y de nuevo dice en otro sitio: *No debemos pensar que la divinidad sea algo semejante al oro, la plata o la piedra, un producto del arte o de la fantasía humana* [103]. Pero lo que dice, realmente, es esto: la divinidad —dice— no sólo está por encima de [104] las formas conocidas, sino que la mente no podría representar cómo es Dios. Por lo tanto, ¿cómo podría tener Dios forma humana, cuando Pablo afirma que ninguna mente es capaz de modelar por sí misma la naturaleza de Dios? Pues todos, fácilmente, podríamos representar entre nosotros nuestra forma y figura acorde con nuestros criterios.

De nuevo y ahora desearía pronunciar un discurso sobre la limosna [105], pero el tiempo no nos lo permite [106]. Por ello, volvamos al silencio, no sin antes recomendaros aquello: que retengáis con exactitud cuanto ha sido dicho y que pongáis mucho cuidado en llevar una vida recta a fin de no **[590]** reunirnos allí en vano y a la ligera. Pues aunque conserváramos los dogmas con rectitud, si la virtud no está unida a las obras, quedaremos privados de la vida eterna [107]. *No todo* —dice— *el que me diga 'Señor, Señor', entrará en el Reino de los Cielos, sino el que haga la voluntad de mi Padre que está en los cielos* [108]. Hagamos, por consiguiente, la voluntad de Dios con todo afán y buena voluntad, para que podamos entrar en el Reino de los Cielos y alcanzar cuanto de bueno está dispuesto para aquellos que aman a Dios. ¡Ojalá todos nosotros participemos de ello!, por la gracia y amor de nuestro Señor Jesucristo, para quien con el Padre y con el Espíritu Santo, sean gloria, poder, honor, ahora y siempre, por los siglos de los siglos. Amén.

Universidad Pontificia de Salamanca

## ΛΟΓΟΣ Γ'.

Τί ἐστι τὸ, Καθ' ὁμοίωσιν, καὶ τίνος ἕνεκεν, τοῦ Θεοῦ εἰπόντος τῶν θηρίων ἡμᾶς ἄρχειν, οὐκ ἄρχομεν, καὶ ὅτι κηδεμονίας τοῦτο πολλῆς.

α'. Ὥσπερ τῶν σπειρόντων ὄφελος οὐδὲν, ὅταν παρὰ τὴν ὁδὸν τὰ σπέρματα ῥίπτηται· οὕτως οὐδὲ τοῦ λέγοντος ἔσται τι πλέον, ὅταν μὴ πρὸς τὴν τῶν ἀκουόντων διάνοιαν ὁ λόγος φέρηται, ἀλλ' ἁπλῶς εἰς τὸν ἀέρα διαχυθεῖσα τῆς φωνῆς ἡ ἀπήχησις ἀνόνητον καταλιμπάνη τὸν ἀκροατήν. Ταῦτα δὲ ὑμῖν οὐχ ἁπλῶς εἴρηκα, ἀλλ' ἵνα μὴ πρὸς τὰ ἁπλούστερα τῶν νοημάτων ἦτε κεχηνότες μόνον, ἀλλὰ καὶ τῶν βαθυτέρων κατατολμήσητε. Εἰ γὰρ μὴ νῦν καταβαίημεν πρὸς τὸ βάθος τῶν Γραφῶν, ὅταν κοῦφα μὲν ἡμῖν τὰ κῶλα πρὸς τὸ νήχεσθαι, ὀξύτερον δὲ τὸ ὄμμα οὐκέτι τῷ πονηρῷ τῆς τρυφῆς ἐνοχλούμενον ῥεύματι, διαρκέστερον δὲ τὸ πνεῦμα, ὥστε μὴ ἀποπνίγεσθαι, πότε καταβησόμεθα; Ὅταν τρυφὴ καὶ ἑστίασις ᾖ καὶ μέθη καὶ τράπεζα ἀδδηφαγίας γέμουσα; Ἀλλὰ τότε οὐδὲ κινηθῆναι ῥᾴδιον, οὕτω τὸ βαρὺ τῆς τρυφῆς φορτίον πιέζει τὴν ψυχήν. Οὐχ ὁρᾶτε ὅτι καὶ οἱ λίθους πολυτελεῖς εὑρίσκειν βουλόμενοι, οὐκ ἄνω παρὰ τὸν αἰγιαλὸν καθήμενοι καὶ τὰ κύματα ἀριθμοῦντες οὕτως εὑρίσκουσι τὸ ζητούμενον, ἀλλ' εἰς αὐτὸ καταδύονται τὸ βάθος· καίτοι πολὺς μὲν ὁ πόνος ἐν τῇ ζητήσει, πολὺς δὲ ὁ κίνδυνος ἐν τῇ εὑρέσει, καὶ μετὰ τὴν εὕρεσιν κέρδος οὐδέν; Τί γὰρ ἂν μέγα εἰσενέγκοι εἰς τὸν βίον τὸν ἡμέτερον λίθων εὕρεσις πολυτελῶν; Εἴθε μὲν οὖν μὴ μεγάλα εἰσήγαγε κακά. Τὸ γὰρ ἀνατρέπον ἡμῶν τὴν ζωὴν καὶ πάντα ἄνω καὶ κάτω ποιοῦν, οὐδὲν ἕτερόν ἐστιν, ἢ ἡ τῶν χρημάτων μανία. Ἀλλ' ὅμως καὶ ψυχὴν καὶ σῶμα ἐκεῖνοι προΐενται τῆς ἐφημέρου τροφῆς ἕνεκεν, καὶ τῶν κυμάτων κατατολμῶσιν· ἐνταῦθα δὲ οὐ κίνδυνος, οὐ πόνος οὕτως ἐπιτεταμένος, ἀλλ' ὀλίγος καὶ κοῦφος, καὶ οὗτος διὰ τὴν τῶν εὑρισκομένων φυλακήν.

Universidad Pontificia de Salamanca

## SERMÓN TERCERO [109]

*Qué significa* A imagen [110]*, y por qué no dominamos a las fieras aun cuando Dios dice que nosotros las dominemos, y que esto sea objeto de un gran cuidado.*

### *1. Recomienda una lectura esmerada de la Escritura; compara la Escritura con las piedras preciosas* [111]

Como sucede con los sembradores [112] que, cuando arrojan las semillas cerca del camino, no obtienen beneficio alguno, así el orador no obtendrá nada mejor si el discurso no penetra en la mente de los que escuchan, y, por el contrario, el eco de la voz está simplemente disperso en el aire y no alcanza al oyente [113] que, en vano, escucha.

No os he dicho esto de una forma simple [114], con el fin de que no os quedéis boquiabiertos solamente ante los pensamientos más superficiales, sino a fin de que también abordéis incluso los más profundos. [115] Pues si no descendemos a la profundidad de la Escritura ahora [116], cuando nuestros miembros están ágiles para nadar, cuando el ojo es más agudo y aún no ha sido perturbado por el engañoso fluir de la voluptuosidad, y nuestro espíritu es más resistente de modo que no puede ser abrumado, ¿cuándo descenderemos?, ¿será, acaso, cuando hagan presencia el placer, la comida y la bebida, y la mesa esté llena de aquello que suscita la gula? En tales momentos no es fácil moverse: así la pesada carga del placer oprime a nuestra alma.

¿No ves que aquéllos que desean descubrir piedras preciosas, si no descienden a la misma profundidad, aunque el esfuerzo en la búsqueda sea grande y grande el peligro en el descubrimiento, e incluso, tras el descubrimiento, no alcancen ningún beneficio, no encontrarán lo que buscan [117] si se sientan junto a la orilla contando las olas? ¿Qué gran valor traería a nuestra vida el descubrimiento de piedras preciosas? ¡Ojalá no hubiera traído tan grandes males! Pues lo que destruye nuestra vida y lo que trastorna todo no es otra cosa que el deseo excesivo de riquezas. Y, no obstante, por el alimento diario exponen alma y cuerpo y desafían las olas.

Pero aquí no hay peligro, tampoco un trabajo tan tortuoso, sino uno pequeño y ligero, y éste precisamente consiste en custodiar lo

Universidad Pontificia de Salamanca

Τὰ γὰρ μετ' εὐκολίας εὑρισκόμενα καὶ εὐκαταφρόνητα πολλοῖς εἶναι δοκεῖ. Οὐκ ἔστι κυμάτων ταραχὴ ἐν τῷ πελάγει τῶν Γραφῶν, ἀλλὰ παντὸς λιμένος εὐδιώτερον τοῦτο τὸ πέλαγος· **[591]** οὐκ ἔστιν ἀνάγκη πρὸς τοὺς ζοφεροὺς τῆς ἀβύσσου κόλπους κατενεχθῆναι, οὐδὲ ὑδάτων ἀλόγων ῥύμῃ τὴν τοῦ σώματος ἐπιτρέψαι σωτηρίαν· ἀλλὰ πολὺ μὲν ἐνταῦθα τὸ φῶς, καὶ αὐτῶν τῶν ἀκτίνων φαιδρότερον, πολλὴ δὲ ἡ γαλήνη, πᾶσα δὲ ἐκποδὼν ταραχὴ, καὶ τῶν εὑρισκομένων τοσοῦτον τὸ κέρδος, ὅσον οὐδὲ λόγῳ παραστῆσαι δυνατόν. Μὴ τοίνυν ἀποκάμωμεν, ἀλλ' ἐπιχειρήσωμεν τῇ ζητήσει Ἠκούσατε ὅτι κατ' εἰκόνα Θεοῦ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον· καὶ τί ποτέ ἐστι τὸ Κατ' εἰκόνα τοῦτο καὶ καθ' ὁμοίωσιν εἰρήκαμεν· ὅτι οὐκ οὐσίας ἀπαραλλαξία, ἀλλ' ἀρχῆς ὁμοιότης· τὸ δὲ, Καθ' ὁμοίωσιν, τὸ ἥμερον εἶναι καὶ πρᾶον, καὶ εἰς δύναμιν ἐξομοιοῦσθαι τῷ Θεῷ κατὰ τὸν τῆς ἀρετῆς λόγον, ὥς φησιν ὁ Χριστός· Γίνεσθε ὅμοιοι τοῦ Πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. Καθάπερ γὰρ ἐν τῇ γῇ τῇ πλατείᾳ καὶ εὐρυχώρῳ ταύτῃ τῶν ζώων τὰ μέν εἰσιν ἀλογώτερα, τὰ δὲ θηριωδέστερα· οὕτω καὶ ἐν τῷ πλάτει τῆς ἡμετέρας ψυχῆς, τῶν λογισμῶν οἱ μὲν εἰσὶν ἀλογώτεροι καὶ κτηνώδεις, οἱ δὲ θηριωδέστεροι καὶ ἀγριώτεροι. Δεῖ τοίνυν αὐτῶν κρατεῖν καὶ περιγίνεσθαι, καὶ τῷ λογισμῷ τὴν τούτων ἀρχὴν παραδιδόναι. Καὶ πῶς ἄν τις περιγένοιτο λογισμοῦ θηριώδους, φησί; Τί λέγεις, ἄνθρωπε; Τῶν λεόντων περιγινόμεθα, καὶ τὰς ψυχὰς αὐτῶν ἡμεροῦμεν, καὶ ἀμφιβάλλεις εἰ λογισμοῦ θηριωδίαν πρὸς ἡμερότητα δυνήσῃ μεταβαλεῖν; Καίτοι τῷ λέοντι μὲν κατὰ φύσιν τὸ ἄγριον, παρὰ φύσιν δὲ τὸ ἥμερον· σοὶ δὲ τὸ ἐναντίον, κατὰ φύσιν μὲν τὸ προσηνὲς, παρὰ φύσιν δὲ ἡ θηριωδία. Ὁ τοίνυν τὸ κατὰ φύσιν ἐκβάλλων, καὶ τὸ παρὰ φύσιν ἐντιθεὶς τῇ τοῦ θηρίου ψυχῇ, ἐν τῇ ἑαυτοῦ ψυχῇ τὸ κατὰ φύσιν οὐ δυνήσῃ διατηρῆσαι; καὶ πόσης οὐκ ἂν εἴη τοῦτο ῥᾳθυμίας; Καὶ ἐπὶ μὲν τῆς τῶν λεόντων ψυχῆς καὶ ἑτέρα δυσκολία μετὰ ταύτης ἐστί· λογισμῶν γάρ ἐστιν ἔρημος ἡ τοῦ θηρίου ψυχή. Ἀλλ' ὅμως ἑωράκατε πολλάκις λέοντας προβάτων ἡμερωτέρους διὰ τῆς ἀγορᾶς ἀγομένους, καὶ πολλοὶ τῶν ἐν τοῖς ἐργαστηρίοις ἀργύριον πολλάκις κατέβαλον τῷ κατέχοντι, μισθόν τινα τῆς

Universidad Pontificia de Salamanca

que se ha encontrado. Sin embargo, lo que se descubre con facilidad, también a muchos les parece que es despreciable. No existe oleaje en el mar de las Escrituras, sino que este mar es más tranquilo que cualquier puerto: **[591]** no hay necesidad de sumergirse en las oscuras entrañas del abismo, ni de encomendar la salvación del cuerpo al impulso de las aguas irracionales; sino que aquí hay mucha luz y es más radiante que los mismos rayos solares. También es mucha la serenidad; toda turbación queda fuera y tan grande es el beneficio alcanzado por los que lo descubren que no es posible exponerlo en un discurso.

Así pues, no nos cansemos, sino que emprendamos la búsqueda. Oísteis que Dios hizo al hombre a imagen de Dios. Y también hemos dicho qué significa *A imagen* y *a semejanza* [118]: que no se trataba de una comparación con su naturaleza, sino de una semejanza de poder [119]; y que *a semejanza* es propio de los hombres y de los seres racionales y que es posible asemejarse a Dios de acuerdo con la virtud, tal y como dice Cristo: *Sed semejantes a mi Padre que está en los cielos* [120].

De la misma forma que en esta tierra ancha y espaciosa existen animales muy irracionales y salvajes, así en la amplitud de nuestra alma existen pensamientos muy irracionales y bestiales, también muy salvajes y crueles. En consecuencia, es preciso dominarlos, vencerlos y entregar el gobierno de éstos a la razón. ¿Y cómo alguien —dice— vencería las atrocidades del pensamiento? ¿Qué dices, hombre?, ¿somos superiores a los leones y amansamos sus almas y tú dudas, acaso, de si es posible cambiar la fiereza de un pensamiento hacia la mansedumbre?

En efecto, la fiereza es intrínseca al león, en cambio la mansedumbre va contra su naturaleza; contigo sucede lo contrario: la bondad es conforme a tu naturaleza, la bestialidad va contra la misma. Así pues, ¿el que despoja de la naturaleza del animal lo que le es propio y coloca en ésta lo que es contrario a su naturaleza no podría velar, acaso, por lo que es conforme a su naturaleza en su propia alma? ¿No sería esto una actitud muy negligente? Pues en el alma de los leones existe, junto a ésta, otra dificultad: pues el alma del animal está privada [121] de pensamientos. Pero en cambio, habéis visto a menudo [122] a leones conducidos a través del ágora más mansos que ovejas, y también muchos que están en sus lugares de trabajo pagan

Universidad Pontificia de Salamanca

τέχνης καὶ τῆς σοφίας, δι' ἧς τὸ θηρίον ἡμέρωσεν· ἐπὶ δὲ τῆς σῆς ψυχῆς καὶ λογισμός ἐστι, καὶ Θεοῦ φόβος, καὶ πολλὴ πολλαχόθεν ἡ βοήθεια. Μὴ τοίνυν σκήψεις μοι λέγε καὶ προφάσεις. Δυνατὸν γὰρ, ἐὰν θέλῃς, ἥμερόν σε εἶναι καὶ πρᾶον. Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν, καὶ ἀρχέτωσαν τῶν θηρίων.

β'. Ἐνταῦθα Ἕλληνες ἡμῖν ἐπιφύονται, καί φασι τὸ λόγιον ψεύδεσθαι· οὐ γὰρ ἡμεῖς ἄρχομεν τῶν θηρίων· αὐτὰ ἡμῶν ἄρχει, καὶ πολλὴν ἡμῖν ἐμβάλλει τὴν ἀγωνίαν. Μάλιστα μὲν οὖν τοῦτο οὐκ ἀληθές· ἀρκεῖ γὰρ καὶ ὄψις ἀνθρωπίνη φανεῖσα ἐκποδὼν ποιῆσαι θηρίον· τοσοῦτος αὐτοῖς ἐστι παρ' ἡμῖν ὁ φόβος. Εἰ δέ που πρὸς ἄμυναν ὁρμήσειεν, ἢ λιμοῦ καταναγκάζοντος, ἢ ἡμῶν αὐτῶν στενοχωρούντων πολλάκις, καὶ πρὸς ἀνάγκην ἐκβαλλομένων αὐτὰ, τοῦτο οὖν οὐκ ἂν εἴη ἀρχῆς ἀπηρτισμένης. Οὐδὲ γὰρ, εἴ τις ἡμῶν λῃστὰς ἐπιόντας ὁρῶν ὁπλίζοιτο, καὶ πρὸς τὴν ἄμυναν χωροίη, ἀρχῆς τὸ πρᾶγμά ἐστιν, ἀλλὰ τῆς οἰ- **[592]** κείας σωτηρίας πολλὴ πρόνοια· πλὴν οὐκ ἐντεῦθεν ποιοῦμαι τὴν ἀπολογίαν, ἀλλ' ἑτέρωθεν, ὅθεν καὶ ὑμῖν χρήσιμον ἀκοῦσαι. Φοβούμεθα τὰ θηρία καὶ δεδοίκαμεν, καὶ τῆς ἀρχῆς ἐκπεπτώκαμεν· οὐκ ἀντιλέγω· φημὶ καὶ αὐτός· ἀλλ' οὐ τοῦτο ψευδῆ τὸν τοῦ Θεοῦ νόμον δείκνυσι. Παρὰ γὰρ τὴν ἀρχὴν οὐχ οὕτω τὰ πράγματα διέκειτο, ἀλλ' ἐδεδοίκει καὶ ἔτρεμε, καὶ ὑπέκυπτεν, ὡς δεσπότῃ, τῷ ἀνθρώπῳ, ἐπειδὴ δὲ τῆς παῤῥησίας ἐξεπέσομεν καὶ τῆς τιμῆς, διὰ τοῦτο δεδοίκαμεν αὐτά. Πόθεν τοῦτο δῆλον; Ἤγαγεν ὁ Θεὸς τὰ θηρία πρὸς τὸν Ἀδὰμ, ἰδεῖν τί καλέσει αὐτά· καὶ οὐκ ἀπεπήδησεν ὁ Ἀδὰμ, καθάπερ δεδοικὼς, ἀλλ' ὥσπερ δούλοις ὑποτεταγμένοις τὰ ὀνόματα ἐπέθηκεν ἅπασι. Τοῦτο δὲ δεσποτείας σύμβολον. Διὸ καὶ ὁ Θεὸς βουλόμενος αὐτῷ καὶ διὰ τούτου δεῖξαι τὸ τῆς ἐξουσίας ἀξίωμα, τὴν τῶν ὀνομάτων αὐτῷ θέσιν ἐπέτρεψε, καὶ τὰ τεθέντα ὀνόματα ἔμεινεν ἐξ ἐκείνου εἰς αὐτά.

Universidad Pontificia de Salamanca

a menudo dinero al domador como recompensa de la astucia y habilidad con la que domesticó al animal. Sin embargo, en tu alma hay razón, también temor a Dios y una gran ayuda procedente de muchas partes.

Por tanto, no me pongas pretextos ni excusas. Pues es posible, si lo deseas, que tú seas civilizado y manso. *Hagamos al hombre a imagen y semejanza nuestra, e imperen sobre las bestias* [123].

*2. Responde a la objeción de los gentiles. Al principio el hombre no temía a las fieras* [124]

En este punto los gentiles [125] se alzan contra nosotros y afirman que el argumento es falso: pues no gobernamos nosotros a las bestias, sino que son ellas las que nos dominan y nos acongojan [126]. Ciertamente esto, sin duda, no es verdad. Pues la simple presencia humana es suficiente incluso para ahuyentar al animal: son ellos los que nos temen. Si por casualidad atacaran para defenderse, ya impulsados por el hambre, ya porque a menudo les acorralamos, ya porque les forzamos a ello [127], esto no sería, por tanto, una dominación completa. Como no sería una cuestión de poder, sino una actitud muy previsora de la propia seguridad, si uno de nosotros, al ver que los ladrones acechan, tomara las armas y se lanzara al ataque.

**[592]** Sin embargo, no baso la defensa en ese punto, sino en otro, por lo que precisamente también os es útil escucharlo.

Tememos a las fieras y temblamos ante ellas, y hemos perdido la posición de gobierno: no lo niego; incluso yo mismo lo afirmo. Ahora bien, esto no indica que la ley de Dios sea falsa. Pues las cosas no eran así al principio, sino que el animal temía y temblaba, y estaba sometido al hombre como a su amo; mas, después que perdimos la libertad [128] y la dignidad, por esta razón, somos nosotros quienes les tememos.

¿En qué punto es esto evidente? *Dios llevó las fieras a Adán, para ver cómo las llamaría* [129]. Y Adán no huyó como el que siente temor, sino que, como a esclavos sometidos, puso los nombres a todas. Este hecho es señal de dominio. Por ello, también Dios, al desear mostrarle incluso en esto la dignidad de su poder, le permitió la imposición de los nombres, y una vez puestos los nombres [130], permanecieron desde aquel tiempo hasta estos. *Pues* —dice— *todo lo*

Universidad Pontificia de Salamanca

Πᾶν γὰρ ὃ ἐκάλεσεν Ἀδὰμ, τοῦτο ὄνομα αὐτοῖς, φησίν. Ἓν δὴ τοῦτο σημεῖον τοῦ μὴ φοβερὰ εἶναι τῷ ἀνθρώπῳ τὰ θηρία παρὰ τὴν ἀρχήν· δεύτερον δὲ καὶ τοῦ πρώτου σαφέστερον, ἡ πρὸς τὴν γυναῖκα τοῦ ὄφεως διάλεξις. Εἰ γὰρ ἦν φοβερὰ τὰ θηρία τοῖς ἀνθρώποις, οὐκ ἂν ἰδοῦσα τὸν ὄφιν ἔμεινεν ἡ γυνή, ἀλλ' ἔφυγεν ἄν· οὐκ ἂν ἐδέξατο συμβουλήν, οὐκ ἂν μετὰ τοσαύτης αὐτῷ διελέχθη τῆς ἀδείας, ἀλλ' εὐθέως ἂν πρὸς τὴν ὄψιν καὶ ἐξεπλάγη καὶ ἀπεπήδησε· νυνὶ δὲ διαλέγεται, καὶ οὐ φοβεῖται· οὐδέπω γὰρ ἦν ὁ φόβος οὗτος. Ἀλλ' ἐπειδὴ ἡ ἁμαρτία εἰσῆλθεν, ἀνῃρέθη καὶ τὰ τῆς τιμῆς· καὶ καθάπερ ἐπὶ τῶν οἰκετῶν, οἱ μὲν εὐδοκιμοῦντες φοβεροὶ τοῖς συνδούλοις εἰσὶν, οἱ δὲ προσκεκρουκότες καὶ τοὺς ὁμοδούλους δεδοίκασιν· οὕτω καὶ ἐπὶ τοῦ ἀνθρώπου γέγονεν. Ἕως μὲν γὰρ εἶχε πρὸς τὸν Θεὸν παῤῥησίαν, φοβερὸς τοῖς θηρίοις ἦν· ἐπειδὴ δὲ προσέκρουσε, καὶ τοὺς ἐσχάτους τῶν ὁμοδούλων δέδοικε λοιπόν. Εἰ δὲ μὴ τοῦτό ἐστι, σύ μοι δεῖξαι πρὸ τῆς ἁμαρτίας, ὅτι φοβερὰ τοῖς ἀνθρώποις τὰ θηρία ἦν· ἀλλ' οὐκ ἂν ἔχοις.

Εἰ δὲ μετὰ ταῦτα εἰσῆλθεν ὁ φόβος, καὶ τοῦτο τῆς τοῦ Δεσπότου κηδεμονίας. Εἰ γὰρ τῆς ἐντολῆς τῆς δοθείσης ὑπὸ τοῦ Θεοῦ τῷ ἀνθρώπῳ κινηθείσης καὶ λυθείσης, ἡ τιμὴ ἡ δοθεῖσα αὐτῷ παρὰ τοῦ Θεοῦ ἀκίνητος ἔμεινεν, οὐκ ἂν ἀνέστη ῥᾳδίως. Ὅταν γὰρ καὶ παρακούοντες οἱ ἄνθρωποι καὶ μὴ παρακούοντες τῆς αὐτῆς ἀπολαύωσι τιμῆς, παιδοτριβοῦνται πρὸς πονηρίαν μᾶλλον, καὶ οὐκ εὐκόλως ἀφίστανται τῆς κακίας. Εἰ γὰρ νῦν φόβων καὶ τιμωριῶν καὶ κολάσεων ἐπικειμένων οὐκ ἀνέχονται σωφρονεῖν, τίνες ἂν ἦσαν, εἰ μηδὲν ἔπαθον ὑπὲρ ὧν ἐπλημμέλουν δεινῶν; Ὥστε δῆλον ὅτι κηδόμενος ἡμῶν καὶ φροντίζων ὁ Θεὸς, ἐξέβαλεν ἡμᾶς τῆς ἀρχῆς. Σὺ δὲ καὶ ἐνταῦθά μοι σκόπει τὴν ἄφατον αὐτοῦ φιλανθρωπίαν. Ὁ μὲν γὰρ Ἀδὰμ πᾶσαν ἀνέτρεψε τὴν ἐντολὴν, καὶ παρέβη τὸν νόμον· ὁ δὲ Θεὸς οὐ πᾶσαν ἔλυσε τὴν τιμὴν, οὐδὲ πάσης ἐξέβαλεν αὐτὸν τῆς ἐξουσίας· ἀλλ' ἐκεῖνα μόνα ἔξω τῆς ἀρχῆς ἀφῆκεν εἶναι τὰ ζῶα, ἃ μὴ σφόδρα αὐτῷ συντελεῖ πρὸς τὴν τῆς ζωῆς χρείαν· τὰ δὲ ἀναγκαῖα καὶ χρήσιμα καὶ πολλὴν εἰσφέροντα λειτουργίαν

Universidad Pontificia de Salamanca

*que denominó Adán, tiene este nombre* [131]. Y éste es un ejemplo de que, al principio, las fieras no eran temidas por el hombre.

Una segunda prueba más manifiesta que esta primera es la conversación de la serpiente con la mujer. Pues si los hombres temieran a los animales, la mujer, al ver la serpiente, no se hubiera quedado inmóvil, sino que hubiera huido; ni tampoco habría aceptado su consejo [132], ni habría conversado con ella con tanta seguridad, sino que inmediatamente, ante su aparición, se habría turbado y habría huido. En cambio, conversa con ella y no la teme, pues todavía no existía ese temor. Pero cuando el pecado hizo aparición, también desapareció todo lo concerniente a la dignidad del hombre. Sucede como entre los esclavos: los estimados son temidos por sus compañeros de esclavitud, y, por otra parte, los fracasados temen también a los que tienen su misma condición de esclavos. En efecto, así también ha sucedido con el hombre. Porque mientras tuvo confianza en Dios, él atemorizaba a las fieras; sin embargo, una vez que hubo pecado, seguidamente temió a los más pequeños de sus compañeros de esclavitud. Si esto no es así, muéstrame tú que el hombre temía a las fieras antes del pecado. No podrías hacerlo.

*El temor a las bestias es útil para el hombre* [133]

Sobrevino después el miedo: también esto es propio de la providencia del Señor. Porque si, después de alterado y violado el mandato dado por Dios al hombre, la dignidad que le dio Dios hubiera permanecido intacta, no habría sido repuesta con facilidad. [134] Si los hombres, los desobedientes y los obedientes [135], disfrutaran del mismo honor, éstos actuarían mal con mucha más frecuencia [136], e incluso no se apartarían del mal fácilmente. Pues si, aun cuando son ahora inminentes los horrores, las venganzas y los castigos, no son voluntariamente sensatos, ¿qué hubieran sido si no hubieran sufrido nada por las horribles faltas que cometieron?

De modo que es evidente que Dios, inquieto y preocupado por nosotros, nos privó de este poder. Pero incluso aquí reconóceme su inefable benevolencia. En efecto, Adán echó abajo todo el mandato y transgredió la Ley, pero Dios no anuló toda su dignidad, ni le despojó de todo el poder; sino que permitió que aquellos animales, los que no contribuían considerablemente a las necesidades de su vida, estuviesen fuera de su gobierno; mas los necesarios, útiles y que nos

Universidad Pontificia de Salamanca

εἰς τὴν ζωὴν τὴν ἡμετέραν, ταῦτα εἴασε μένειν ἐν τῇ δουλείᾳ. Ἀφῆκε βοῶν ἀγέλας, ἵνα ἄροτρον ἕλκωμεν, ἵνα τὴν γῆν τέμνωμεν, ἵνα τὰ σπέρματα **[593]** καταβάλλωμεν· ἀφῆκε τῶν ὑποζυγίων τὰ γένη, ἵνα πρὸς τὴν τῶν ἀγωγίμων μετακομιδὴν συναντιλαμβάνηται ἡμῖν τῶν πόνων· ἀφῆκε προβάτων ποίμνια, ἵνα ἔχωμεν εἰς περιβολὰς ἱματίων χορηγίαν ἀρκοῦσαν· καὶ ἕτερα δὲ γένη ζώων εἴασε πολλὴν ἡμῖν ἑτέραν εἰσάγοντα χρείαν. Ἐπειδὴ γὰρ κολάζων τὸν ἄνθρωπον ἔλεγεν, Ἐν ἱδρῶτι τοῦ προσώπου σου φάγῃ τὸν ἄρτον σου, ἵνα μὴ ὁ ἱδρὼς οὗτος καὶ ὁ μόχθος καὶ ὁ πόνος ἀφόρητος ᾖ, ἐπεκούφισε τὸ βαρὺ καὶ φορτικὸν τοῦ ἱδρῶτος τῷ πλήθει τῶν ἀλόγων τῶν συνεφαπτομένων ἡμῖν τοῦ πόνου καὶ τῆς ταλαιπωρίας ταύτης. Καὶ καθάπερ δεσπότης φιλάνθρωπος καὶ κηδεμονικὸς τὸν οἰκέτην τὸν ἑαυτοῦ μαστίξας, θεραπείαν τινὰ προσάγει ταῖς μάστιξιν· οὕτω καὶ ὁ Θεὸς καταδίκην ἐπιθεὶς, παντὶ τρόπῳ τὴν καταδίκην ταύτην κουφοτέραν βούλεται ποιῆσαι, ἱδρῶτι μὲν ἡμᾶς καταδικάσας καὶ πόνῳ διηνεκεῖ, τοῦ δὲ πόνου συνεφάπτεσθαι πολλὰ τῶν ἀλόγων γένη παρασκευάσας ἡμῖν. Ὑπὲρ δὴ τούτων ἁπάντων εὐχαριστήσωμεν αὐτῷ· καὶ γὰρ τὸ δοῦναι τὴν τιμὴν ἡμῖν, καὶ τὸ πάλιν ἀφελεῖν τὴν τιμὴν, καὶ τὸ μὴ πᾶσαν ἀφελεῖν αὐτὴν, καὶ τὸ τὸν φόβον ἡμῖν ἐπιστῆσαι τῶν θηρίων, καὶ πάντα, ἄν τις ἐξετάζῃ, πολλῆς γέμει σοφίας, πολλῆς κηδεμονίας, πολλῆς φιλανθρωπίας· ἧς γένοιτο πάντας ἡμᾶς ἀπολαύειν διηνεκῶς εἰς δόξαν τοῦ ταῦτα ἐργασαμένου Θεοῦ· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.

Universidad Pontificia de Salamanca

ayudan en nuestra vida, a éstos permitió que permanecieran bajo nuestro dominio. Dejó las manadas de ganado, para que pudiéramos tirar del arado, para que cultiváramos la tierra y para que esparciéramos **[593]** las semillas; permitió que tuviéramos cerca los animales de tiro para que nos ayudaran en el transporte de cargas; consintió en rebaños de ovejas, para que pudiéramos tener una cantidad suficiente de prendas para vestir; nos dejó también otras especies de animales que nos proporcionan otros muchos servicios.

Una vez que hubo castigado al hombre, dijo: *Con el sudor de tu frente comerás tu pan* [137]; mas para que este sudor y esfuerzo y fatiga [138] no fueran insoportables, aligeró el peso y la carga del sudor con una multitud de animales que emprendieran con nosotros esa ocupación y esfuerzo. Como un amo bondadoso y preocupado que, tras azotar a su esclavo, le ofrece algún alivio a los azotes, así también Dios, impuesto el castigo, quiere hacerlo más llevadero en todos los sentidos, una vez que nos ha condenado al esfuerzo y a un trabajo continuo, y una vez que nos ha preparado un gran grupo de animales que contribuyan en esa ocupación.

Por todo esto, démosle las gracias. Pues darnos dignidad, quitárnosla de nuevo, no quitárnosla toda, infundirnos el miedo a las fieras, todo, si alguien lo examinara, está lleno de sabiduría, de protección, de mucha misericordia [139], de la que ¡ojalá! todos nosotros disfrutemos constantemente para gloria de Dios, que hizo todo esto, para quien sea la gloria por los siglos de los siglos. Amén.

Universidad Pontificia de Salamanca

# ΛΟΓΟΣ Δ'.

Ὅτι δουλείας τρόπους τρεῖς εἰσήγαγεν ἡ ἁμαρτία· καὶ πρὸς τοὺς ῥᾳθύμως ἀκούοντας, καὶ μὴ τιμῶντας γονεῖς.

α'. Ἠκούσατε χθὲς, πῶς μὲν ἐποίησε βασιλέα καὶ ἄρχοντα τῶν θηρίων τὸν ἄνθρωπον ὁ Θεὸς, πῶς δὲ αὐτὸν εὐθὺς τῆς βασιλείας ἐξέβαλε· μᾶλλον δὲ οὐχ ὁ Θεὸς, ἀλλ' αὐτὸς ἑαυτὸν διὰ τῆς παρακοῆς ἐξέβαλε τῆς τιμῆς. Τὸ μὲν γὰρ τυχεῖν τῆς βασιλείας, τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἐγένετο μόνης. Οὐ γὰρ κατορθωμάτων αὐτῷ ταύτην ἔδωκε τὴν ἀμοιβὴν, ἀλλὰ καὶ πρὶν ἢ γενέσθαι, ἐκόσμησε τῇ τιμῇ. Ἵνα γὰρ μὴ λέγῃς, ὅτι μετὰ ταῦτα γενόμενος ὁ ἄνθρωπος, εἶτα πολλὰ κατορθώσας, οὕτως ἐπεσπάσατο τὸν Θεὸν εἰς τὸ δοῦναι αὐτῷ τὴν τῶν θηρίων ἀρχὴν, μέλλων αὐτὸν διαπλάττειν περὶ τῆς ἀρχῆς αὐτοῦ διαλέγεται οὕτω λέγων· Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν, καὶ ἀρχέτωσαν τῶν θηρίων τῆς γῆς. Πρὸ τῆς ζωῆς ἡ τιμὴ, πρὸ τῆς δημιουργίας ὁ στέφανος, καὶ πρὶν ἢ γενέσθαι, ἐπὶ τὸν βασιλικὸν ἀνάγεται θρόνον. Ἄνθρωποι μὲν γὰρ τοὺς ὑποκειμένους αὐτοῖς ἐν ἐσχάτῳ γήρᾳ μετὰ πολλοὺς πόνους καὶ μυρίους κινδύνους, τοὺς ἐν εἰρήνῃ, τοὺς ἐν πολέμοις, τότε τιμῶσιν· ὁ δὲ Θεὸς οὐχ οὕτως, ἀλλ' εὐθέως γενόμενον αὐτὸν ἐπὶ τὴν τιμὴν ταύτην ἤγαγε, δεικνὺς ὅτι οὐ κατορθωμάτων ἐστὶν ἀμοιβὴ τὸ γινόμενον, ἀλλὰ θεία χάρις, καὶ οὐκ ὀφειλή. Τὸ μὲν οὖν λαβεῖν αὐτὸν τὴν ἀρχὴν, ἀπὸ τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἐγένετο μόνης· τὸ δὲ ἐκπεσεῖν τῆς ἀρχῆς, ἀπὸ τῆς αὐτοῦ ῥᾳθυμίας. Ὥσπερ γὰρ οἱ βασιλεῖς τοὺς οὐχ ὑπακούοντας τοῖς αὐτῶν προστάγμασι παραλύουσι τῆς ἀρχῆς· οὕτω καὶ ὁ Θεὸς ἐποίησεν ἐπὶ τοῦ ἀνθρώπου, τότε παραλύσας αὐτὸν τῆς ἀρχῆς. Ἀναγκαῖον δὲ σήμερον εἰπεῖν, πόσην καὶ ἄλλην τιμὴν ἡ τῆς ἁμαρτίας παρείλετο φύσις, καὶ ὅσους δουλείας εἰσήγαγε **[594]** τρόπους, ὥσπερ τις τύραννος ἐν πολυτρόποις δεσμοῖς, ταῖς παντοδαπαῖς ἀρχαῖς τὴν ἡμετέραν δεσμεύουσα φύσιν.

Universidad Pontificia de Salamanca

## Sermón cuarto [140]

*Que el pecado condujo a tres tipos de esclavitud; dirigido a los que escuchan con indiferencia y no honran a los padres.*

### *1. Cómo Dios proveyó de honor a sus súbditos* [141]

Hace poco oísteis [142] cómo Dios hizo al hombre rey y señor de los animales y también cómo seguidamente le privó del poder. O mejor, no fue Dios, sino él mismo quien, por la desobediencia, se privó de ese honor. Pues alcanzar el poder fue obra únicamente de la misericordia de Dios.

En efecto, no le recompensó por cuanto hubo realizado rectamente, sino que antes de que esto sucediera le concedió ese honor. Mas, para que no digas que, cuando apareció el hombre y ya había actuado rectamente, persuadió a Dios para que le diera el dominio de los animales, en el momento de modelarlo, se refirió a su poder con las palabras siguientes: *Hagamos al hombre a imagen y semejanza nuestra, que dominen las bestias de la tierra* [143]. Antes de la vida, la dignidad; antes de la creación, la corona; y antes de nacer, elevado a la dignidad regia.

Pues los hombres, al final de su vida [144], después de muchas fatigas e innumerables peligros en la paz y, especialmente en las guerras, honran a los que les están sujetos [145]. Dios, en cambio, no actúa así, sino que inmediatamente, después de haber creado al hombre, le condujo a este honor, demostrando así que lo que crea no es una recompensa por las buenas acciones, sino gracia divina y no deuda. Por consiguiente, alcanzar este poder es obra únicamente de la misericordia de Dios [146], perder el poder [147] es obra de la negligencia del hombre: como los reyes, que eximen del poder a quienes no obedecen sus mandatos, así también actuó Dios con el hombre cuando lo despojó del poder[148].

Hoy es preciso hablar, en cambio, de cuán grande y distinto honor le arrebató la naturaleza del pecado al hombre y a cuántos modos de esclavitud le condujo **[594]**, como cuando una reina [149] encarcela nuestra naturaleza con todo tipo de cadenas, con toda clase de poderes.

Universidad Pontificia de Salamanca

Ἔστι τοίνυν ἀρχὴ καὶ δουλεία πρώτη, καθ' ἣν καὶ γυναικῶν οἱ ἄνδρες κρατοῦσι· μετὰ γὰρ τὴν ἁμαρτίαν ἡ ταύτης ἐγένετο χρεία. Πρὸ γὰρ τῆς παρακοῆς ὁμότιμος ἦν τῷ ἀνδρί· καὶ γὰρ ὅτε ταύτην διέπλαττεν ὁ Θεὸς, οἷς ἐχρήσατο ῥήμασι καὶ ἐπὶ τῆς διαπλάσεως τοῦ ἀνδρὸς, τούτοις καὶ ἐπὶ τῆς δημιουργίας τῆς γυναικός. Ὥσπερ οὖν εἶπεν ἐπ' ἐκείνῳ, Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν, καὶ οὐκ εἶπε, Γενηθήτω ἄνθρωπος· οὕτω καὶ ἐπὶ ταύτης οὐκ εἶπε, Γενηθήτω γυνή, ἀλλὰ καὶ ἐνταῦθα, Ποιήσωμεν αὐτῷ βοηθόν· καὶ οὐχ ἁπλῶς βοηθὸν, ἀλλὰ, Κατ' αὐτὸν, πάλιν τὸ ὁμότιμον δηλῶν. Ἐπειδὴ γὰρ πολλὴν εἰς τὴν τῆς ζωῆς ἡμῶν χρείαν τὰ ἄλογα τὴν τῆς βοηθείας εἰσήγαγε κοινωνίαν, ἵνα μὴ τῶν δούλων νομίσῃς εἶναι καὶ τὴν γυναῖκα, ὅρα πῶς ποιεῖ τὴν διάκρισιν φανεράν. Ἤγαγε τὰ θηρία, φησὶν, ἐνώπιον τοῦ Ἀδὰμ, καὶ οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ κατ' αὐτόν. Τί οὖν; ὁ ἵππος οὐ βοηθὸς, συμπαραταττόμενος ἐν τοῖς πολέμοις; ὁ βοῦς οὐ βοηθὸς, ἄροτρον ἕλκων καὶ συγκάμνων ἡμῖν ἐν ταῖς τῶν σπερμάτων καταβολαῖς; ὄνος καὶ ἡμίονος οὐ βοηθοὶ, πρὸς τὴν τῶν ἀγωγίμων ἡμῖν συμπράττοντες μετακομιδήν; Ἀλλ' ἵνα μὴ τοῦτο λέγῃς, διὰ τοῦτο ἀκριβῆ ποιεῖται τὴν διαίρεσιν. Οὐδὲ γὰρ εἶπεν ἁπλῶς, ὅτι οὐχ εὑρέθη αὐτῷ βοηθὸς, ἀλλ' ὅτι Οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ. Οὕτω καὶ ἐνταῦθα, Ποιήσωμεν αὐτῷ βοηθὸν, οὐχ ἁπλῶς, ἀλλὰ, Ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτὸν, εἶπε. Ταῦτα δὲ πρὸ τῆς ἁμαρτίας· μετὰ δὲ τὴν ἁμαρτίαν, Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. Ἐποίησά σε, φησὶν, ὁμότιμον· οὐκ ἐχρήσω καλῶς τῇ ἀρχῇ· μετάβηθι πρὸς τὴν ὑποταγήν. Οὐκ ἤνεγκας τὴν ἐλευθερίαν, κατάδεξαι τὴν δουλείαν. Οὐκ οἶδας ἄρχειν, καὶ δι' αὐτῆς τῶν πραγμάτων ἔδειξας τῆς πείρας· γενοῦ τῶν ἀρχομένων, καὶ τὸν ἄνδρα ἐπίγνωθι κύριον. Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. Καὶ ὅρα Θεοῦ ἐνταῦθα φιλανθρωπίαν. Ἵνα γὰρ μὴ ἀκούσασα τὸ, Αὐτός σου κυριεύσει, φορτικὴν εἶναι νομίσῃ τὴν δεσποτείαν, πρότερον τὸ τῆς κηδεμονίας ἔθηκεν ὄνομα εἰπὼν, Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, τουτέστιν, Ἡ καταφυγή σου καὶ ὁ λιμὴν καὶ ἡ ἀσφάλεια ἐκεῖνος ἔσται σοι· ἐν πᾶσι τοῖς ἐπιοῦσι δεινοῖς πρὸς ἐκεῖνον ἀποστρέφεσθαι καὶ καταφεύγειν σοι δίδωμι.

Universidad Pontificia de Salamanca

Existe, en efecto, un poder y una esclavitud primera, por la que también los hombres dominan a las mujeres; pues después del pecado nació la necesidad de la mujer. Antes de la desobediencia, era igual en dignidad al hombre: efectivamente, cuando Dios la modeló, con las palabras que usó en la modelación del hombre, con éstas también se sirvió en la creación de la mujer.

Así pues, tal y como dijo para aquél: *Hagamos al hombre a imagen y semejanza nuestra* [150], y no, *Hágase el hombre,* así también en relación a ésta no dijo, *hágase la mujer,* sino en este punto dijo, *hagamos una ayuda para él* [151]. Y no habla simplemente de una ayuda, sino *conforme a él,* mostrando una vez más la igualdad en dignidad. Puesto que los animales nos proporcionan una gran ayuda en las necesidades de nuestra vida, para que no pensaras que la mujer es también uno de sus esclavos, mira cómo hace una distinción clara. *Condujo a las bestias* —dice— *ante Adán y no se halló ayuda similar a él en relación a él* [152]. Y bien, ¿no es el caballo, acaso, ayuda cuando se le forma en orden de batalla en las guerras?, ¿no es ayuda el buey cuando tira del arado y trabaja juntamente con nosotros en los comienzos de las simientes?, ¿un burro y una mula no son ayuda, acaso, cuando nos socorren en el transporte de las cargas? Pero para que no digas eso se hace una distinción clara. Pues no dijo simplemente que «no encontró ayuda para él», sino que *no encontró una ayuda igual a él* [153]. Tampoco en este punto dijo sin más «Hagamos una ayuda para él», sino *Hagamos una ayuda conforme a él* [154].

Así sucedió antes del pecado, pero después del pecado, *Hacia tu marido irá tu apetencia y él te dominará* [155]. Yo te hice, dice, igual en dignidad, mas no usaste convenientemente el poder: desciende a la sumisión. No toleraste la libertad: admite la esclavitud. No supiste mandar y lo demostraste con hechos: sé de los dominados y reconoce al hombre como a tu amo. *Hacia tu marido irá tu apetencia y él te dominará* [156].

Observa sin embargo, en lo que sigue, la misericordia de Dios. Para que, al escuchar esto, *él te dominará,* no pensara que la dominación es difícil de soportar, antepuso la palabra de protección diciendo: *Hacia tu marido irá tu apetencia,* es decir, aquel será para ti tu asilo, tu puerto y tu seguridad [157]; en todas las situaciones difíciles te concedo [158] dirigirte a aquél y refugiarte en él. Y no sólo en

Universidad Pontificia de Salamanca

Οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ καὶ φυσικαῖς αὐτοὺς συνέδησεν ἀνάγκαις καθάπερ ἄῤῥηκτόν τινα δεσμὸν, τὴν ἐκ τῆς ἐπιθυμίας περιβαλὼν αὐτοῖς ἅλυσιν. Εἶδες πῶς εἰσήγαγε μὲν τὴν ὑποταγὴν ἡ ἁμαρτία, ὁ δὲ εὐμήχανος καὶ σοφὸς Θεὸς καὶ τούτοις πρὸς τὸ συμφέρον ἡμῖν ἀπεχρήσατο; Ἄκουσον πῶς καὶ Παῦλος περὶ ταύτης λέγει τῆς ὑποταγῆς, ἵνα μάθῃς πάλιν Παλαιᾶς καὶ Καινῆς τὴν συμφωνίαν. Γυνὴ, φησὶν, ἐν ἡσυχίᾳ μανθανέτω ἐν πάσῃ ὑποταγῇ.

Εἶδες καὶ αὐτὸν ὑποτάξαντα τῷ ἀνδρὶ τὴν γυναῖκα; Ἀλλ' ἀνάμεινον, καὶ τὴν αἰτίαν ἀκούσῃ. Διὰ τί, Ἐν πάσῃ ὑποταγῇ; Γυναῖκα γὰρ, φησὶ, διδάσκειν οὐκ ἐπιτρέπω. Διὰ τί; Ἐδίδαξε γὰρ ἅπαξ κακῶς τὸν Ἀδάμ. Οὐδὲ αὐθεντεῖν τοῦ ἀνδρός. Τί δήποτε; **[595]** Καὶ γὰρ ηὐθέντησεν ἅπαξ κακῶς. Ἀλλ' εἶναι ἐν ἡσυχίᾳ. Ἀλλ' εἰπὲ καὶ τὴν αἰτίαν. Ἀδὰμ γὰρ, φησὶν, οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέγονε. Διὰ τοῦτο αὐτὴν ἀπὸ τοῦ τῆς διδασκαλίας κατεβίβασε θρόνου. Ὁ γὰρ διδάσκειν οὐκ εἰδὼς, μανθανέτω, φησίν· εἰ δὲ μὴ βούλοιτο μανθάνειν, ἀλλὰ διδάσκειν ἐθέλοι, καὶ ἑαυτὸν καὶ τοὺς μανθάνοντας προσαπολεῖ· ὅπερ οὖν καὶ ἐπὶ τῆς γυναικὸς τότε γέγονεν. Ἀλλ' ὅτι μὲν ὑποτέτακται τῷ ἀνδρὶ, καὶ διὰ τὴν ἁμαρτίαν ὑπετάγη, δῆλον ἐντεῦθεν· βούλομαι δὲ ἐκεῖνο ἀκοῦσαι, τὸ, Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει.

β'. Βούλομαι μαθεῖν πῶς καὶ περὶ τῆς κηδεμονίας ταύτης ὁ Παῦλος διαλέγεται, καὶ τὴν δεσποτείαν ἀναμίγνυσι τῇ φιλοστοργίᾳ. Ποῦ οὖν τοῦτο ποιεῖ; Κορινθίοις ἐπιστέλλων φησίν· Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας· ἰδοὺ τὸ, Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου. Αἱ γυναῖκες ἵνα φοβῶνται τοὺς ἄνδρας· ἰδοὺ τὸ, Αὐτός σου κυριεύσει. Εἶδες πῶς ἀνεπαχθὴς ἡ δεσποτεία, ὅταν ἐραστὴς μανικὸς τῆς δουλευούσης ὁ δεσπότης ᾖ, ὅταν φόβος ᾖ μετὰ ἀγάπης; Οὕτω γὰρ τὸ φορτικὸν ἀνῄρηται τῆς δουλείας. Μίαν μὲν οὖν εἰσήγαγε τὴν ἀρχὴν ἡ παρακοή. Μὴ γὰρ δὴ τοῦτο ἴδῃς, ὅτι πρὸς τὸ δέον ἐῤῥύθμισεν αὐτὴν ὁ Θεὸς, ἀλλ' ὅτι αὐτὴν τῆς δου-

Universidad Pontificia de Salamanca

esto, sino también les sujetó a las necesidades corporales como vínculo irrompible, rodeándoles con la cadena del deseo.

¿Viste cómo el pecado les condujo a la sumisión y, en cambio Dios, ingenioso y sabio, también se sirvió de éstos para nuestro provecho? Escucha qué dice Pablo sobre esta obediencia, para que, a su vez, entiendas la armonía entre el Antiguo y el Nuevo Testamento [159]. *La mujer,* —dice— *oiga en silencio con toda sumisión* [160].

*El deber de la mujer; la mujer es dominada por el hombre, por qué. Otra clase de esclavitud procedente del pecado* [161]

¿Observaste también esto, la mujer sometida al hombre? Pero aguarda y escucharás la razón. ¿Por qué *con toda sumisión?* Dice, *no permito que la mujer* [162] *enseñe* [163]. ¿Por qué?: pues enseñó una vez mal a Adán. *Ni que domine al hombre* [164]. ¿Por qué esto entonces? **[595]** También dominó mal una vez. *Sino que esté en silencio* [165]. Mas di también la causa. *Adán no fue engañado,* —dice—, *sino la mujer que, seducida, incurrió en la transgresión* [166]. Por ello hizo bajar a la mujer del trono del magisterio. Pues quien no sepa enseñar, que aprenda. Así dice: si no quisiera aprender, sino que deseara enseñar, no sólo se perdería a sí mismo, sino que además perdería a sus discípulos. Eso, precisamente, ha sucedido a la mujer. Pero que ha estado sometida al hombre y que fue dominada a causa del pecado, es evidente hasta aquí.

No obstante, deseo escuchar aquello de, *Hacia tu marido irá tu apetencia y él te dominará* [167].

2. Quiero saber también qué dice Pablo sobre este asunto y cómo combina la dominación con el afecto [168]. ¿En qué lugar hace esto? Cuando escribe a los Corintios [169] dice: *Hombres, amad a vuestras mujeres* [170]. He aquí esto, *Hacia tu marido irá tu apetencia* [171]. *Las mujeres que teman a los hombres* [172]. Y esto: *Él te dominará* [173]. ¿Ves cómo el dominio no es gravoso, cuando el señor de la sometida es un amante sin límites [174], cuando el temor existe junto al cariño? De este modo ha desaparecido lo enojoso de la esclavitud.

La desobediencia, en resumen, condujo al dominio. Pues no quisiste ver esto: que Dios la dispuso ordenadamente para lo que convenía, pero el pecado dispuso la naturaleza misma de la esclavi-

Universidad Pontificia de Salamanca

λείας τὴν φύσιν ἡ ἁμαρτία κατεσκεύασεν· ἣ ἐστι καὶ δεύτερον δουλείας εἶδος τοῦ προτέρου φορτικώτερον, καὶ αὐτὸ δὲ τὴν ἀρχὴν καὶ τὴν ὑπόθεσιν ἐκ τῆς ἁμαρτίας ἔχει. Μετὰ γὰρ τὸν κατακλυσμὸν τὸν ἐπὶ τοῦ Νῶε, καὶ τὸ κοινὸν τῆς οἰκουμένης ἁπάσης ναυάγιον καὶ τὴν πανωλεθρίαν ἐκείνην, ἥμαρτεν εἰς τὸν γεγεννηκότα ὁ Χὰμ, καὶ γυμνωθέντα ἰδὼν τὸν πατέρα, μᾶλλον ἐγύμνωσε τῇ πρὸς τοὺς ἀδελφοὺς κατηγορίᾳ, καὶ ἐντεῦθεν οἰκέτης ἐγένετο τῶν ἀδελφῶν. Ἐλυμήνατο γὰρ τῆς φύσεως τὴν εὐγένειαν ἡ τῆς προαιρέσεως πονηρία· καὶ μάλα εἰκότως. Ἡ μὲν οὖν Γραφὴ μυρίας ὑπὲρ τοῦ δικαίου συντίθησιν ἀπολογίας, μᾶλλον δὲ ἑνὶ ῥήματι πᾶσαν αὐτῷ δίδωσι συγγνώμην. Ἤρξατο γὰρ, φησὶ, Νῶε ἄνθρωπος γεωργός. Τὸ δὲ, Ἤρξατο, τοῦτο πολλὴν ἔχει τὴν ἀπολογίαν τὴν ἐπὶ τῇ μέθῃ. Οὔτε γὰρ πόσον πιεῖν ἐχρῆν τὸν οἶνον ᾔδει, οὔτε πῶς πιεῖν, ἄκρατον, ἢ μεμιγμένον ὕδατι, οὔτε πότε πιεῖν, εὐθέως τῶν ὑποληνίων ἐξαντληθέντα, ἢ μικρὸν ἀναμείναντα χρόνον. Ἡ μὲν οὖν Γραφὴ διὰ τούτων ἀπολογεῖται ὑπὲρ τοῦ Νῶε· ὁ δὲ ἐξ αὐτοῦ γεννηθεὶς, ὁ δι' ἐκείνου σωθεὶς (διὰ γὰρ τὴν εἰς τὸν πατέρα τιμὴν οὐ συναπώλετο τῷ τῶν λοιπῶν κλυδωνίῳ), οὐ πρὸς τὴν φύσιν ἰδὼν αὐτὴν, οὐ τῆς σωτηρίας ἀναμνησθεὶς, οὐ τῷ φόβῳ σωφρονισθεὶς, ὁρῶν ἔτι τὰ λείψανα τῆς τοῦ Θεοῦ μένοντα ὀργῆς, καὶ τῆς συμφορᾶς τὰ ἴχνη φαινόμενα, καὶ τὸν τῶν γεγενημένων ἀκμάζοντα φόβον, ἐξύβρισεν εἰς τὸν γεγεννηκότα Διὰ τοῦτο καί τις σοφὸς παραινεῖ λέγων· Μὴ δοξάζου ἐν ἀτιμίᾳ πατρός σου· οκὺ γάρ ἐστί σοι δόξα πατρὸς ἀτιμία. Ἀλλ' οὐδὲ τοῦτο ἔγνω ἐκεῖνος· ἀλλ' ἥμαρτεν ἁμαρτίαν πάσης συγγνώμης καὶ ἀπολογίας μείζονα. Διὰ τοῦτο τιμωρίαν ἔδωκε τῆς ἁμαρτίας τὴν δουλείαν, καὶ τῶν ἀδελφῶν οἰκέτης ἐγένετο, καὶ τὴν ἀπὸ τῆς **[596]** φύσεως προεδρίαν τῇ τῆς γνώμης κακίᾳ προέδωκεν. Ἰδοὺ καὶ δεύτερος δουλείας τρόπος. Βούλει καὶ τρίτον μαθεῖν; Φορτικώτερος δὲ οὗτος τῶν δύο τῶν προτέρων ἐστὶ, καὶ πολὺ φοβερώτερος. Ἐπειδὴ γὰρ ἐκείνοις οὐκ ἐσωφρονίσθη, ἐπέτεινεν ἡμῖν ὁ Θεὸς τὰ δεσμά. Τίς οὖν οὗτός ἐστιν; Ὁ τῶν ἀρχόντων, ὁ τῶν ἐξουσιῶν· οὐ τοιοῦτος, οἷος ὁ τῆς γυναικὸς, οὐδὲ τοιοῦτος, οἷος ὁ τῶν δούλων, ἀλλὰ πολλῷ φοβερώτερος. Ξίφη γὰρ ἔστιν ἰδεῖν ἠκονημένα πανταχοῦ, δημίους, κολάσεις, βασανιστήρια, τιμωρίας, τὴν μέχρι θανάτου καὶ ζωῆς ἐξουσίαν. Καὶ ὅτι καὶ

Universidad Pontificia de Salamanca

tud, una clase posterior de esclavitud mucho más pesada que la primera y con principio y fundamento en el pecado.

Después del diluvio en tiempos de Noé, del común naufragio de todo el universo y de aquella completa destrucción, Cam [175] pecó contra su padre [176], y, cuando lo vio desnudo, se desnudó [177] más con la delación a sus hermanos. Fue entonces cuando se convirtió en esclavo de sus hermanos. Pues la maldad de ese plan premeditado corrompió la nobleza de su naturaleza y, sin duda, justamente.

Ciertamente, la Escritura ofrece innumerables justificaciones en favor del justo [178], o más bien, en una palabra, le concede todo perdón. *Empezó* —dice— *Noé como viñador* [179]. El término *Empezó* ya es una justificación grande a su embriaguez, pues ni sabía cuánto vino era conveniente beber, ni cómo beberlo, puro o mezclado con agua, ni cuándo beberlo, si al momento de ser extraído de los lagares o después de haber sido guardado durante algún tiempo. Y por lo que sigue, la Escritura excusa la acción de Noé: el engendrado por él, el salvado gracias a aquél (por consideración al padre no pereció en el oleaje que mató a los demás), sin tener en cuenta su naturaleza, sin acordarse de la salvación obtenida, sin cambiar su actitud por el miedo, como viera aún los restos que quedaban de la ira de Dios, que estaban a la vista las huellas de la calamidad y que estaba vigente el miedo a lo que acababa de suceder, se levantó insolentemente contra el que le había engendrado. Por esto, un cierto sabio también aconseja diciendo: *No te glories con la deshonra de tu padre, pues la deshonra de tu padre no es gloria para ti* [180]. Pero aquél no comprendió esto; por el contrario, cometió un pecado [181] mayor [182] que todo perdón y defensa. Por ello, permitió la servidumbre como castigo del pecado, vino a ser esclavo de los hermanos y, por **[596]** la maldad de sus sentimientos, renunció a la prioridad que le correspondía por naturaleza. He aquí un segundo tipo de esclavitud.

¿Quieres conocer incluso un tercero? Éste es más vil [183] que los dos primeros y mucho más horrible. Puesto que el hombre no se corrigió [184] con aquéllos, Dios nos tensó las cadenas. ¿Cuál es éste? El de los que ostentan la autoridad, el del conjunto de los magistrados. No es como el de la mujer ni como el de los esclavos, sino que es, con mucho, más horrible. Por todos los lados es posible ver espadas afiladas, verdugos, castigos, tormentos, suplicios, el poder [185] sobre la muerte y sobre la vida. Que también esta clase de señorío

Universidad Pontificia de Salamanca

οὗτος τῆς ἀρχῆς ὁ τρόπος ἀναγκαῖος διὰ τὴν ἁμαρτίαν ἐγένετο, ἄκουσον πάλιν αὐτοῦ τοῦ Παύλου περὶ τούτου φιλοσοφοῦντος. Εἰ δὲ θέλεις μὴ φοβεῖσθαι τὴν ἐξουσίαν, τὸ ἀγαθὸν ποίει, φησὶ, καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς. Ἐὰν τὸ κακὸν ποιῇς, φοβοῦ· οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ. Ὁρᾷς ὅτι διὰ τοὺς τὸ κακὸν πράττοντας καὶ ἄρχων καὶ μάχαιρα; Ἄκουσον γοῦν σαφέστερον τοῦτο πάλιν. Ἔκδικος γὰρ, φησὶν, ἔστι τῷ τὸ κακὸν πράσσοντι. Καὶ οὐκ εἶπεν, Οὐ γὰρ εἰκῇ ἄρχων ἐστίν· ἀλλὰ τί; Οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ. Ὡπλισμένον σοι τὸν δικαστὴν ἐπέστησε. Καθάπερ γὰρ φιλόστοργος πατὴρ παῖδας εἰς αὐτὸν ῥᾳθυμοῦντας, καὶ διὰ τὴν πατρικὴν φιλοστοργίαν καταφρονοῦντας αὐτοῦ, διὰ τὴν ἀγαθότητα παιδαγωγοῖς καὶ διδασκάλοις ἐκδίδωσι φοβεροῖς· οὕτω καὶ ὁ Θεὸς τὴν φύσιν τὴν ἡμετέραν καταφρονοῦσαν αὐτοῦ, διὰ τὴν ἀγαθότητα, καθάπερ διδασκάλοις καὶ παιδαγωγοῖς, τοῖς ἄρχουσιν ἐξέδωκεν, ὥστε αὐτοὺς ἐπιστρέψαι αὐτῶν τὴν ῥᾳθυμίαν. Ἀλλ', εἰ βούλεσθε, καὶ ἀπὸ τῆς Παλαιᾶς αὐτὸ τοῦτο ἴδωμεν, ὅτι διὰ τὴν πονηρίαν τὴν ἡμετέραν καὶ τῆς ἀρχῆς ἐγένετο χρεία ταύτης. Τῶν προφητῶν τις παροξυνόμενος ἐπὶ τοῖς ἀδίκοις, οὕτω πώς φησι· Παρασιωπήσεις ἐν τῷ καταπίνειν τὸν ἀσεβῆ τὸν δίκαιον, καὶ ποιήσεις τοὺς ἀνθρώπους, ὡς τοὺς ἰχθύας τῆς θαλάσσης, καὶ ἑρπετὰ οὐκ ἔχοντα ἡγούμενον; Οὐκοῦν διὰ τοῦτο ἡγούμενος, ἵνα μὴ ὡς ἑρπετὰ ὦμεν· διὰ τοῦτο ἄρχων· ἵνα μὴ ὡς οἱ ἰχθύες καταπίνωμεν ἀλλήλους. Ὥσπερ γὰρ διὰ τὰ νοσήματα τὰ φάρμακα, οὕτω διὰ τὰ ἁμαρτήματα αἱ κολάσεις. Ἐπεὶ ὅτι γε ὁ συζῶν ἀρετῇ τῆς ἐκεῖθεν ἐπιστασίας οὐ δεῖται, ἄκουσον τί φησιν ὁ Παῦλος· Εἰ δὲ θέλεις μὴ φοβεῖσθαι τὴν ἐξουσίαν, τὸ ἀγαθὸν ποίει, καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς. Θεατής σου, φησὶν, ὁ δικαστής ἐστιν. Ἐὰν ὀρθῶς ζῇς, οὐ θεατὴς μόνον, ἀλλὰ καὶ ἐπαινέτης. Καὶ τί λέγω τὴν ἀπὸ τῶν ἀρχόντων χρείαν, ὅπουγε καὶ ἑτέρων μειζόνων ἀνώτεροι οἱ φιλοσοφίαν διώκοντές εἰσιν; Ἄρχοντες γὰρ ἀρχόντων εἰσὶν οἱ νόμοι. Ἀλλ' ὅμως οὐδὲ νόμων δεῖται ὁ μετ' ἐπιεικείας ζῶν· καὶ τοῦτο ἄκουσον τοῦ Παύλου λέγοντος, Δικαίῳ νόμος οὐ κεῖται. Εἰ δὲ νόμος οὐ κεῖται, πολλῷ μᾶλλον ἄρχων οὐκ ἐφέστηκεν. Ἰδοὺ τρίτος ἀρχῆς τρόπος, καὶ οὗτος ἀπὸ τῆς ἁμαρτίας καὶ πονηρίας ἔχων τὴν ὑπόθεσιν.

Universidad Pontificia de Salamanca

resultó necesario por el pecado: escucha de nuevo al mismo Pablo investigando sobre esto. *Si quieres no temer a la autoridad, haz el bien,* —dice— *y obtendrás un elogio de ella. Pero si obras el mal, teme: pues no en vano lleva la espada* [186].

¿Ves que, por éstos que obran el mal, aparece un príncipe y una espada? Escucha esto, de nuevo, más claramente. *Vengador* —dice— *es para el que hace el mal* [187]. Y no dijo, «No es soberano al azar», sino, ¿qué dijo?: *Pues no en vano lleva espada* [188]. Colocó a tu lado al juez armado. Como un padre amante que, por su bondad, entrega a sus hijos a preceptores y maestros temibles cuando éstos le tratan con negligencia y desprecian el cariño paterno, así también Dios, por su bondad, los entregó a gobernantes, como a maestros y preceptores, cuando nuestra naturaleza le desprecia, de modo que éstos enmendaran su negligencia.

Pero si lo deseáis, veamos también esto mismo desde el Antiguo Testamento, ya que, por nuestra maldad, también hubo necesidad de este dominio.

Alguno de los profetas, irritado contra los injustos, dice algo así: *¿Callarás cuando el impío devora al justo y tratarás a los* [189] *hombres como a los peces del mar, como reptiles que no tienen guía?* [190]. Por esto es guía, para que no seamos como reptiles; por esto es soberano, para que, como los peces [191], no nos devoremos unos a otros. Pues de la misma manera que los medicamentos existen para las enfermedades, así los castigos existen para los pecados. Porque el que vive con virtud no necesita de aquella vigilancia, escucha qué dice Pablo: *Si quieres no temer a la autoridad, haz el bien y obtendrás alabanzas de ella* [192]. Tu espectador, dice, es el juez.

Si vives rectamente, no eres sólo espectador, también panegirista. ¿Y qué hablo yo acerca de la necesidad de gobernantes, cuando precisamente los que persiguen la filosofía [193] son más sublimes que otros más poderosos? Pues señoras de los señores son las leyes [194]. Sin embargo, no necesita de leyes el que vive con equidad. Escucha también esto que dice Pablo: *Una ley no está puesta para un justo* [195]. Y si la ley no se promulga, mucho menos se puso al frente un soberano.

He aquí el tercer tipo de dominio, también éste con base en el pecado y en la maldad.

Universidad Pontificia de Salamanca

**[597]** γ΄. Πῶς οὖν ὁ Παῦλός φησιν, ὅτι Οὐκ ἔστιν ἐξουσία, εἰ μὴ ἀπὸ Θεοῦ; Ὅτι αὐτὸς αὐτὴν πρὸς τὸ λυσιτελὲς ἡμῖν κατέστησεν. Εἰσήγαγε μὲν γὰρ αὐτῆς τὴν χρείαν ἡ ἁμαρτία· ὁ δὲ Θεὸς πρὸς τὸ συμφέρον ἡμῖν ἀπεχρήσατο. Καὶ καθάπερ ἡ χρεία τῶν φαρμάκων ἀπὸ τῶν τραυμάτων γίνεται, ἡ δὲ ἐπαγωγὴ τῶν φαρμάκων ἀπὸ τῆς τῶν ἰατρῶν σοφίας· οὕτω καὶ ἡ χρεία τῆς δουλείας ἀπὸ τῆς ἁμαρτίας γέγονε· τὸ δὲ εἰς δέον αὐτὴν ῥυθμίσαι, ἀπὸ τῆς τοῦ Θεοῦ σοφίας. Ἀλλὰ γὰρ διανάστητε, καὶ τὴν ῥᾳθυμίαν ἀπόθεσθε. Τίνος ἕνεκα τοῦτο λέγω; Περὶ Γραφῶν ὑμῖν διηγούμεθα, ὑμεῖς δὲ τοὺς ὀφθαλμοὺς ἀποστήσαντες ἡμῶν, πρὸς τὰς λαμπάδας καὶ τὸν τὰς λαμπάδας ἅπτοντα μετεστήσατε. Καὶ πόσης τοῦτο ῥᾳθυμίας, ἡμᾶς ἀφέντας, τούτῳ προσέχειν; Πῦρ ἀνάπτω κἀγὼ τὸ ἀπὸ τῶν Γραφῶν, καὶ ἐπὶ τῆς γλώττης τῆς ἡμετέρας λαμπάδιον καίεται τὸ τῆς διδασκαλίας. Τοῦτο μεῖζον καὶ βέλτιον τὸ φῶς ἐκείνου τοῦ φωτός· οὐ γὰρ δὴ θρυαλλίδα διάβροχον ἐλαίῳ, καθάπερ οὗτος, ἐξάπτομεν, ἀλλὰ ψυχὰς ἐν εὐσεβείᾳ ἀρδομένας τῇ τῆς ἀκροάσεως ἀνάπτομεν ἐπιθυμίᾳ. Διελέγετό ποτε καὶ ὁ Παῦλος ἐν ὑπερῴῳ τινί. Ἀλλὰ μηδεὶς νομιζέτω με Παύλῳ παραβάλλειν ἐμαυτόν· οὐ γὰρ οὕτω μέμηνα· ἀλλ' ἵνα μάθητε πόσην περὶ τὴν ἀκρόασιν σπουδὴν ἐπιδείκνυσθαι χρή. Διελέγετο τοίνυν ὁ Παῦλος ἐν ὑπερῴῳ, καὶ ἑσπέρα κατέλαβε, καθάπερ καὶ νῦν, καὶ λαμπάδες ἦσαν ἐν τῷ ὑπερῴῳ· εἶτα ὁ Εὔτυχος ἀπὸ τῆς θυρίδος κατέπεσε, καὶ οὐ διέλυσε τὸ πτῶμα τὸν σύλλογον, οὐδὲ ἀνέστησε τὸ θέατρον ὁ θάνατος· ἀλλ' οὕτως ἦσαν προσηλωμένοι τῇ τῶν θείων ἀκροάσει λογίων, ὡς μηδὲ αἰσθηθῆναι τοῦ πτώματος· ὑμεῖς δὲ οὐδὲν ξένον ἰδόντες, οὐδὲ παράδοξον, ἀλλ' ἄνθρωπον τὰ συνήθη ποιοῦντα, τὰς ὄψεις ἐκεῖ μετεθήκατε. Καὶ ποίας ἂν εἴη τοῦτο συγγνώμης ἄξιον; Μηδεὶς τοίνυν, ἀγαπητοί, φορτικήν τινα τὴν ἐπιτίμησιν νομιζέτω· οὐ γὰρ μισοῦντες, ἀλλὰ κηδόμενοι ἐγκαλοῦμεν. Ἀξιοπιστότερα γὰρ τραύματα φίλων, ἢ ἑκούσια φιλήματα ἐχθρῶν.

Universidad Pontificia de Salamanca

**[597]** *3.* ¿Por qué dice Pablo: *No hay autoridad a no ser de Dios?*[196]. Porque Éste la instituyó para conveniencia nuestra.

El pecado, en efecto, llevó a que la autoridad fuera necesaria, y además, Dios se sirvió de ella para nuestro provecho. Y lo mismo que la necesidad de los medicamentos nace de las heridas, y la aparición de los fármacos de la sabiduría de los médicos, así también la necesidad de la esclavitud ha surgido del pecado, pero orientarla a lo que es conveniente es obra de la sabiduría de Dios[197].

¡Poneos en pie y evitad la indiferencia![198]. ¿Por qué digo esto? Os comentamos minuciosamente las Escrituras, y en cambio vosotros, apartando los ojos de nosotros, los fijasteis en las lámparas y en el que las enciende[199]. ¿Y no es una actitud negligente prestar atención a éste y no hacernos caso a nosotros?

Yo, por mi parte, enciendo el fuego[200] de las Escrituras y en nuestra lengua arde la antorcha de la doctrina. Esta luz es mayor y mejor que aquella luz: pues no prendemos, en efecto, la mecha empapada en aceite, como éste, sino que encendemos las almas confortadas[201] en piedad con el deseo de escuchar. *Dialogaba Pablo en la estancia superior*[202]. ¡Que nadie piense que yo me quiero comparar a Pablo!, ¡no estoy tan loco!. Se trata de un ejemplo[203] para que entendáis cuanto esfuerzo es preciso poner en escuchar.

Así pues, dialogaba Pablo en la estancia superior y sobrevino la tarde, como también ahora, y había lámparas en la habitación. A continuación, Eutico se cayó desde la ventana y la caída no disolvió la reunión, ni la muerte puso en pie al auditorio, sino que de tal manera estaban clavados en la audición de las palabras divinas, que ni se dieron cuenta de la caída[204]. Vosotros, en cambio, sin ver nada extraño ni raro, sino a un hombre que hace lo acostumbrado, dirigisteis allí la mirada. Y ¿de qué manera sería esta actitud digna de perdón? Que nadie, amigos, considere, el reproche como algo inoportuno, pues no hacemos reproches a los que aborrecen, sino a los que están afligidos. *Son más fidedignas las heridas de los amigos que los besos voluntarios de los enemigos*[205].

*De los deberes de los hijos para con los padres; sobre las recompensas permanentes de los padres a los amigos. Acerca de los castigos a los parricidas: ¿por qué quiso Dios lapidarles?*[206]

Universidad Pontificia de Salamanca

Διανάστητε τοίνυν, παρακαλῶ, καὶ τοῦτο ἀφέντες τὸ πῦρ, τῷ φωτὶ προσέχετε τῶν θείων Γραφῶν. Ἕτερον γὰρ ὑμῖν ἀρχῆς βούλομαι τρόπον εἰπεῖν, οὐκ ἀπὸ ἁμαρτίας λαμβάνοντα τὴν ὑπόθεσιν, ἀλλὰ παρὰ τῆς φύσεως αὐτῆς. Τίς οὖν οὗτός ἐστιν; Ὁ τῶν τεκόντων εἰς ἔκγονα. Ὠδίνων γάρ ἐστιν ἀμοιβὴ ἡ τοιαύτη τιμή. Διὰ τοῦτο καί τις σοφὸς λέγει· Ὡς δεσπόταις δούλευσον τοῖς γεννήσασί σε. Εἶτα καὶ τὴν αἰτίαν ἐπάγει λέγων· Τί γὰρ αὐτοῖς ἀνταποδώσεις, καθὼς αὐτοί σοι; Καίτοι τί ποτέ ἐστιν, ὃ μὴ δύναται παῖς ἀποδοῦναι πατρί; Οὐδὲν οὖν ἄλλο ἢ τοῦτο λέγει· Καθὼς αὐτοί σε ἐγέννησαν, σὺ αὐτοὺς γεννῆσαι οὐ δυνήσῃ. Ἐπεὶ οὖν κατὰ τοῦτο ἠλαττώμεθα, ἑτέρωθεν πλεονεκτήσωμεν ταῖς εἰς αὐτοὺς τιμαῖς, μὴ διὰ τὸν τῆς φύσεως νόμον μόνον, ἀλλὰ πρὸ τῆς φύσεως διὰ τὸν τοῦ Θεοῦ φόβον. Καὶ γὰρ σφόδρα ὁ Θεὸς βούλεται τοὺς τεκόντας τιμᾶσθαι παρὰ τῶν τεχθέντων· καὶ τοὺς μὲν τοῦτο ποιοῦντας μεγάλοις ἀγαθοῖς καὶ δωρεαῖς ἀμείβεται, τοὺς δὲ παραβαίνοντας τὸν νόμον μεγάλοις καὶ δεινοῖς κολάζει κακοῖς. Ὁ κακολογῶν, φησὶ, πατέρα ἢ μητέρα, θανάτῳ **[598]** τελευτάτω. Τοῖς δὲ τιμῶσιν αὐτοὺς οὕτω πώς φησι· Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται· καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς. Ὅπερ μέγιστον ἀγαθὸν εἶναι νομίζεται, γῆρας λιπαρὸν καὶ μῆκος ζωῆς, τοῦτο ἔθηκεν ἔπαθλον τοῖς τιμῶσιν αὐτούς· καὶ ὅπερ ἔσχατον εἶναι δοκεῖ κακὸν, θάνατος ἄωρος, τοῦτο ἔθηκεν ἐπιτίμιον τοῖς ὑβρίζουσιν εἰς αὐτούς· τοὺς μὲν ἐπισπώμενος εἰς εὔνοιαν τῇ τῆς τιμῆς ἐπαγγελίᾳ, τοὺς δὲ καὶ ἄκοντας ἀπάγων τῆς ὕβρεως τῷ τῆς τιμωρίας φόβῳ. Οὐδὲ γὰρ ἁπλῶς ἀποθνήσκειν κελεύει τὸν πατραλοίαν, οὐδὲ δημίους αὐτὸν ἀπὸ τοῦ δικαστηρίου λαβόντας ἐξάγειν διὰ τῆς ἀγορᾶς, οὐδὲ τῆς πόλεως ἔξω τὴν κεφαλὴν ἀποτέμνειν· ἀλλ' ἄγει μὲν αὐτὸν εἰς μέσην τὴν πόλιν αὐτὸς ὁ πατὴρ, καὶ χωρὶς ἀποδείξεως πάσης πιστεύεται· καὶ μάλα δικαίως. Ὁ γὰρ καὶ χρήματα καὶ σώματα καὶ πᾶν ὁτιοῦν ἑλόμενος ὑπὲρ τοῦ παιδὸς καταδαπανῆσαι, οὐκ ἄν ποτε κατήγορος αὐτοῦ γέγονεν, εἰ μὴ πολλὴ τῆς ὕβρεως ἦν ἡ ὑπερβολή. Ἄγει τοίνυν αὐτὸν εἰς τὸ μέσον τῆς πόλεως, εἶτα καλεῖ τὸν δῆμον ἅπαντα, καὶ λέγει τὴν κατηγορίαν· οἱ δὲ ἀκούοντες πάντες, ἕκαστος λίθον λαβὼν, οὕτω βάλλουσι τὸν πατραλοίαν. Οὐ γὰρ δὴ θεατὰς μόνον τῆς τιμωρίας, ἀλλὰ καὶ αὐτουργοὺς

Universidad Pontificia de Salamanca

Por lo tanto, poneos en pie, os lo ruego, y, sin prestar atención a ese fuego [207], acercaos a la luz de las Sagradas Escrituras [208].

Deseo, en efecto, hablaros de otro tipo de señorío que no tiene su fundamento en el pecado, sino en la naturaleza misma [209]. Así pues, ¿cuál es éste? El de los padres hacia los hijos. Una paga así es la recompensa a los partos. Por esto también algún sabio [210] dice: *Como a amos, sirve a los que te engendraron* [211]. Y después añade la causa, cuando dice: *¿Cómo les pagarás, como ellos a ti?* [212]. ¿Qué significa esto?, ¿que el hijo no puede pagar al padre? No quiere decir otra cosa que ésta: así como ellos te engendraron, tú no podrás engendrarles. Por tanto, puesto que en esto fuimos inferiores, superémosles en la consideración a ellos debida, no sólo por la ley de la naturaleza, sino, antes que por la naturaleza, por el temor a Dios.

Pues en efecto, Dios desea que los padres sean honrados por los hijos: y a los que así actúan les recompensa con grandes bienes y dones, pero a los que transgreden la ley, en cambio, los castiga con grandes y terribles males. *El que maldiga,* —dice—, *a su padre o a su madre,* **[598]** *halle su fin en la muerte* [213]. Mas a los que los honran les dice así: *Honra a tu padre y a tu madre, para que te vaya bien y serás longevo sobre la tierra* [214]. Lo que precisamente se cree que es el mayor bien, es decir, una vejez feliz y una larga vida [215], lo estableció como premio a los que honran a los padres; y lo considerado como la peor desgracia, la muerte prematura, lo instituyó como castigo a los que deshonran a sus progenitores: a unos les lleva a una buena disposición por la promesa de la recompensa, a otros, incluso contra su voluntad, los separa de la insolencia por el temor al castigo. En absoluto ordena que muera el parricida, ni manda que los verdugos lo apresen y saquen del tribunal al ágora, ni que le corten la cabeza a las afueras de la ciudad, sino que al contrario, el propio padre lo conduce al centro de la ciudad y, lejos de toda manifestación pública, le da su confianza, y muy justamente. Pues quien escogió gastar en el hijo riquezas, vida y cualquier cosa [216], no se convertiría nunca en su acusador, a no ser que fuese exagerada su insolencia.

Lo conduce, en efecto, al centro de la ciudad, convoca, a continuación, a todo el pueblo y pronuncia la acusación. Todos los que escuchan, cada uno cogiendo una piedra, la arrojan al parricida. Pues seguramente el legislador no desea que sean sólo espectadores de los castigos, sino también parte activa, para que cada uno, al mirar a su

Universidad Pontificia de Salamanca

εἶναι βούλεται ὁ νομοθέτης, ἵνα εἰς τὴν δεξιὰν ἕκαστος ἰδὼν τὴν ἑαυτοῦ, δι' ἧς τὸν λίθον καὶ αὐτὸς ἔβαλε κατὰ τῆς τοῦ πατραλοίου κεφαλῆς, ἱκανὸν ὑπόμνημα πρὸς διόρθωσιν ἔχῃ. Οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ἕτερον ἡμῖν ὁ νομοθέτης αἰνίττεται, ὅτι ὁ τοὺς γονέας ὑβρίζων οὐκ ἐκείνους ἠδίκηκε μόνον, ἀλλὰ καὶ πάντας ἀνθρώπους. Διὰ τοῦτο πάντας ἐπὶ τὴν κοινωνίαν τῆς τιμωρίας καλεῖ, καθάπερ ὑβρισμένους ἅπαντας, καὶ δῆμον ὁμοῦ καὶ πόλιν περιίστησιν ἅπασαν, παιδεύων καὶ τοὺς οὐδὲν ἔχοντας κοινὸν πρὸς τοὺς ἠδικημένους ἐπὶ γονεῦσιν ὑβριζομένοις ἀγανακτεῖν, ὡς τῆς κοινῆς φύσεως ὑβριζομένης, καὶ τὸν τοιοῦτον ἄνθρωπον ὥσπερ λοιμόν τινα καὶ κοινὴν νόσον, μὴ τῆς πόλεως μόνον, ἀλλὰ καὶ τοῦ φωτὸς ἀπελαύνειν αὐτοῦ. Πολέμιος γὰρ ὁ τοιοῦτος καὶ κοινὸς ἁπάντων ἐστὶν ἐχθρὸς, καὶ τοῦ Θεοῦ, καὶ τῆς φύσεως, καὶ τῶν νόμων, καὶ τῆς κοινῆς ἁπάντων ἡμῶν ζωῆς. Διὰ τοῦτο πάντας συνεφάπτεσθαι κελεύει τῆς σφαγῆς, ὥσπερ τινὰ καθαρμὸν τῆς πόλεως ἐργαζόμενος. Πολλὰ ὑμῖν ἀγαθὰ γένοιτο, ὅτι μετὰ τοσαύτης ἡδονῆς τοὺς περὶ τοῦ πατραλοίου λόγους ἐδέξασθε, καὶ ἀντὶ τῶν λίθων ταῖς βοαῖς αὐτὸν ἐβάλλετε· τεκμήριον γὰρ τοῦτό ἐστι τοῦ πολλὴν περὶ τὸν ἑαυτοῦ πατέρα ἕκαστον ὑμῶν τὴν εὔνοιαν ἐπιδεδεῖχθαι. Καὶ γὰρ τότε τοὺς νόμους μάλιστα θαυμάζειν εἰώθαμεν τοὺς τὰ ἁμαρτήματα κολάζοντας, ὅταν μὴ συνειδότες ἑαυτοῖς τὰ ἁμαρτήματα ὦμεν. Ὑπὲρ δὴ τούτων ἁπάντων εὐχαριστήσωμεν τῷ φιλανθρώπῳ Θεῷ τῷ κηδομένῳ τῆς ζωῆς τῆς ἡμετέρας, καὶ προνοοῦντι γονέων, καὶ παίδων φροντίζοντι, καὶ πάντα ὑπὲρ τῆς ἡμετέρας οἰκονομοῦντι σωτηρίας. Αὐτῷ γὰρ πρέπει δόξα, τιμὴ, καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ Πατρὶ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Universidad Pontificia de Salamanca

derecha, por el lado por el que lanzó la piedra contra la cabeza del parricida, obtenga un recuerdo suficiente para su corrección. Pero el legislador no sólo nos insinúa esto, también otra cosa: que el que deshonra a los padres no cometió injusticia sólo contra aquellos, sino también contra todos los hombres.

Por esto, convoca a todos a la participación del castigo, como si todos hubiesen sido ultrajados y coloca en derredor al pueblo y a toda la ciudad al mismo tiempo, enseñando también a éstos, que no tienen nada en común con aquéllos que fueron tratados injustamente, a indignarse por los padres ultrajados, como si la naturaleza común fuera deshonrada, y a expulsar a este hombre tal, como a una peste y a una inmunda enfermedad, no sólo de la ciudad, sino también de la vida misma.

En efecto, un hombre de tal clase es un enemigo, también común adversario de todos, de Dios, de la naturaleza, de las leyes y de la vida común de todos nosotros [217]. Por esto ordena que todos emprendamos juntamente al asesinato, como si se realizara una purificación de la ciudad.

Serían muchos los bienes para vosotros porque recibísteis de muy buen grado las palabras sobre el parricida, y en lugar de piedras, le lanzasteis gritos: esto es, en efecto, una prueba de que cada uno de vosotros ha mostrado mucho afecto a su propio padre.

Efectivamente, nos hemos acostumbrado a sorprendernos, sobre todo, ante las leyes que castigan las faltas, aun sin ser conscientes de nuestros propios errores. Demos gracias por todo ello al misericordioso Dios [218], al que se preocupa de nuestra vida, al que cuida de los padres, al que se preocupa de los hijos y al que dispone todo para nuestra salvación. Gloria, honor y adoración le son debidas [219] a Él, juntamente con el Supremo Padre y con el Espíritu Santo, ahora y siempre, y por los siglos de los siglos. Amén.

Universidad Pontificia de Salamanca

## [599] ΛΟΓΟΣ Ε΄.

Ὅτι οὐ διὰ τὸν Ἀδὰμ κολαζόμεθα, καὶ ὅτι μείζονα τῶν δι' ἐκείνου εἰσενεχθέντων λυπηρῶν τὰ χρηστὰ, ἐὰν ἑαυτοῖς προσέχωμεν· καὶ κατὰ τῶν παρατρεχόντων τοὺς πένητας.

α΄. Ὑμεῖς μὲν ἴσως νομίζετε τὸν περὶ τῆς δεσποτείας ἡμῖν ἅπαντα ἀπηρτίσθαι λόγον· ἐγὼ δὲ ἔτι πολὺν ὁρῶ τὸν καρπὸν ἐν αὐτῷ φαινόμενον. Ἀλλὰ μὴ ἀποκάμητε, παρακαλῶ, ἕως αὐτὸν ἅπαντα ἐκτρυγήσωμεν. Καὶ γὰρ οἱ φιλόπονοι τῶν γεωργῶν ὅταν ἴδωσιν ἄμπελον πολλοῖς μὲν τοῖς φύλλοις κομῶσαν, πολλῷ δὲ τῷ καρπῷ βριθομένην, οὐχὶ τοὺς ἔξωθεν βότρυας ἐκτέμνουσι μόνον, ἀλλὰ καὶ ἐνδοτέρω χωροῦσι τὰ κλήματα ἀνακλῶντες, καὶ τὰ φύλλα ἀναστέλλοντες, ὥστε μηδὲ μικρὰς σταφυλῆς ῥᾶγας ὑπὸ τοῖς πετάλοις κρυπτομένας λαθεῖν. Μὴ τοίνυν ἐκείνων φανῆτε ῥᾳθυμότεροι, μηδὲ ἀποστῆτε, ἕως ἂν τὸ πᾶν λάβητε· καὶ μάλιστα, ὅτι ὁ μὲν πόνος ἐμὸς, ὁ δὲ καρπὸς ὑμέτερος.

Κατηγορήσαμεν χθὲς τῶν γυναικῶν, μᾶλλον δὲ οὐχὶ τῶν γυναικῶν, ἀλλὰ τῆς Εὔας, ὅτι διὰ τῆς ἁμαρτίας τὴν δουλείαν εἰσήγαγεν. Εἴποιεν ἂν αἱ γυναῖκες ἡμῖν Τίνος οὖν ἕνεκεν, ἐκείνης ἁμαρτησάσης, ἡμεῖς κατεδικάσθημεν, καὶ τὸ μὲν παράπτωμα γέγονεν ἑνὸς προσώπου, τὸ δὲ ἔγκλημα κοινὸν τῆς φύσεως ἁπάσης; Τοῦτο καὶ δοῦλοι εἴποιεν ἄν· Τί δήποτε, τοῦ Χαναὰν εἰς τὸν πατέρα ὑβρίσαντος, τὰ τῆς τιμωρίας εἰς ἅπαν διέβη τὸ γένος; Καὶ οἱ τοὺς ἄρχοντας δὲ φοβούμενοι τοῦτο ἂν αἰτιάσαιντο· Τί δήποτε, ἑτέρων ἐν πονηρίᾳ ζησάντων, αὐτοὶ τῷ ζυγῷ τῆς ἀρχῆς παρεδόθησαν; Τί οὖν ἂν εἴποιμεν ἡμεῖς πρὸς τούτους ἅπαντας; Μία γὰρ ἔσται πάντων ζητημάτων ἡ λύσις· ὅτι ἥμαρτον μὲν οἱ πρότεροι, καὶ διὰ τῆς οἰκείας παρακοῆς τὴν δουλείαν εἰσήγαγον· εἰσαχθεῖσαν δὲ οἱ μετὰ ταῦτα ταῖς παρ' ἑαυτῶν ἐκύρωσαν ἁμαρτίαις. Εἰ μὲν γὰρ ἔχοιεν ἑαυτοὺς δεῖξαι διαπαντὸς ἁμαρτημάτων ὄντας καθαρούς, ἴσως ἂν εἴη αὐτοῖς καλῶς

Universidad Pontificia de Salamanca

## [599] SERMÓN QUINTO [220]

*Que no somos castigados a causa de Adán y que, si volviéramos la atención a nosotros mismos, los beneficios serían mayores que las penas introducidas por aquél. En relación a los que pasan apresuradamente junto a los pobres.*

*1.* Tal vez vosotros pensáis que se os ha expuesto completamente el discurso acerca de la soberanía. Yo, en cambio, veo todavía un evidente y enorme fruto en éste. No desfallezcáis, os lo ruego, hasta que lo recolectemos completamente [221].

En efecto, los laboriosos viñadores, cuando ven una vid repleta de sarmientos y cargada de abundantes uvas, no podan sólo los racimos de fuera, sino que, una vez que han doblado hacia arriba las ramas y apartando las hojas, inspeccionan más adentro, de manera que no pasen inadvertidas las pequeñas uvas del racimo escondidas bajo las hojas. Por consiguiente, no os mostréis más negligentes que aquellos, ni os alejéis hasta que recolectéis la totalidad, y sobre todo, porque el esfuerzo es mío, en cambio, el fruto es vuestro.

*Por qué por el pecado de uno son castigados otros* [222]

Ayer [223] acusamos a las mujeres, o mejor dicho, no a las mujeres, sino a Eva, ya que ella fue conducida a la esclavitud por el pecado. Podrían decirnos las mujeres: «¿Por qué, ya que aquella pecó, fuimos nosotras condenadas, y siendo el error de una sola persona, en cambio la acusación ha sido común a toda la naturaleza femenina?». Y también los esclavos podrían decir lo siguiente: «¿Por qué, después de que Canaán [224] fue insolente con el Padre, el castigo se extendió a toda la raza?». Y los que temen a los que ostentan el poder podrían alegar esto: «¿Por qué, si son otros los que viven en maldad [225] fueron entregados al yugo de la autoridad ellos mismos?».

Por tanto, ¿qué podríamos responder nosotros a todos estos? Una será la respuesta a todas las preguntas: que ciertamente los primeros pecaron e introdujeron la esclavitud por su propia desobediencia, pero, la esclavitud puesta ya en escena, la alcanzaron los que vinieron después con sus propias faltas. Pues si pudieran demostrar que ellos mismos están completamente limpios de pecados, quizá les

Universidad Pontificia de Salamanca

δοκεῖν ἀντιλέγειν· εἰ δὲ καὶ αὐτοὶ πολλοῖς εἰσιν ἐπιτιμίοις ὑπεύθυνοι, περιττὰ τὰ τῆς ἀπολογίας ταύτης ἐστίν. Ἐγὼ γὰρ οὐκ εἶπον, ὅτι ἤδη μὲν ἡ ἁμαρτία δουλείαν οὐκ εἰσάγει, ἀλλ' ὅτι πᾶσα ἁμαρτία δουλείᾳ συγκεκλήρωται, καὶ φύσιν ἁμαρτίας, οὐ διαφορὰν ἁμαρτίας ᾐτιασάμην μόνον. Ὥσπερ οὖν ἅπαντα μὲν τὰ ἀνίατα νοσήματα εἰς θάνατον ἄγει, οὐχ ἅπαντα δὲ τῆς αὐτῆς ἐστι φύσεως· οὕτω καὶ τὰ ἁμαρτήματα ἅπαντα μὲν δουλείαν τίκτει, οὐχ ἅπαντα δὲ τῆς αὐτῆς ἐστι φύσεως. Ἥμαρτεν ἡ Εὔα ἀψαμένη τοῦ ξύλου, καὶ κατεκρίθη δι' αὐτό. Διὰ τοῦτο μὴ ἁμαρτήσῃς σὺ πάλιν ἑτέραν ἴσως ἐκείνης ἁμαρτίαν χαλεπωτέραν. Τοῦτο καὶ ἐπὶ τῶν δούλων ἄξιον εἰπεῖν, τοῦτο καὶ ἐπὶ τῶν ἀρχομένων, ὅτι εἰσήγαγον μὲν οἱ πρῶτοι τὴν ἁμαρτίαν, οἱ δὲ μετ' ἐκείνους διαδεξάμενοι κατέσχον τῆς δεσποτείας τὴν δύναμιν δι' ὧν ἐπλημμέλησαν. Ἔχω καὶ ἑτέρως ἀπολογήσασθαι· ὅτι πολλοὶ πρὸς ἀρετὴν ἐπανελθόντες, ἀπηλλάγησαν τῆς δεσποτείας. Καὶ πρότερον, εἰ δοκεῖ, ἐπὶ τῶν γυναικῶν τὸν λόγον γυμνάσωμεν, ἵν' ἴδῃς πῶς ὁ μακάριος Παῦλος, ὁ περιθεὶς αὐταῖς τὰ δεσμὰ, αὐτὸς αὐτὰ πάλιν ἀνῆκε. Εἴ τις γυνὴ, φησὶν, ἄνδρα ἔχει ἄπι- **[600]** στον, καὶ αὐτὸς συνευδοκεῖ οἰκεῖν μετ' αὐτῆς, μὴ ἀφιέτω αὐτόν. Διὰ τί; Τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις; Καὶ πῶς, φησὶ, δύναται σῶσαι γυνή; Διδάσκουσα, κατηχοῦσα, ἐνάγουσα πρὸς τὸν τῆς εὐσεβείας λόγον. Καίτοι χθὲς, ὦ μακάριε Παῦλε, ἔλεγες, ὅτι Γυναικὶ διδάσκειν οὐκ ἐπιτρέπω. Πῶς οὖν πάλιν διδάσκαλον αὐτὴν ποιεῖς τοῦ ἀνδρός; Οὐχὶ μαχόμενος ἐμαυτῷ τοῦτο ποιῶ, ἀλλὰ καὶ σφόδρα συμφωνῶν. Ἄκουε γοῦν καὶ τίνος ἕνεκεν αὐτὴν ἐξέβαλε, καὶ τίνος ἕνεκεν αὐτὴν πάλιν ἐπανάγει πρὸς τὸν τῆς διδασκαλίας θρόνον, ἵνα μάθῃς τὴν Παύλου σοφίαν. Διδασκέτω, φησὶν, ὁ ἀνήρ. Διὰ τί; Οὐκ ἠπατήθη γάρ. Ἀδὰμ γὰρ, φησὶν, οὐκ ἠπατήθη. Μανθανέτω, φησὶν, ἡ γυνή. Διὰ τί; Ἠπατήθη γάρ. Ἡ γυνὴ γὰρ, φησὶν, ἀπατηθεῖσα ἐν παραβάσει γέγονεν. Ἐνταῦθα δὲ τὸ ἐναντίον. Ὅταν μὲν γὰρ ἄπιστος ᾖ ὁ ἀνὴρ, πιστὴ δὲ ἡ γυνὴ, διδασκέτω, φησὶν, ἡ γυνή. Διὰ τί; Ὅτι οὐκ ἠπάτηται· πιστὴ γάρ ἐστι. Μανθανέτω τοίνυν ὁ ἀνήρ· ἠπατήθη γάρ· ἄπιστος γάρ ἐστιν. Ἀντεστράφη, φησὶ, τὰ τῆς διδασκαλίας· ἀντεστράφθω λοιπὸν καὶ τὰ τῆς δεσποτείας.

Universidad Pontificia de Salamanca

sería lícita la esperanza de contradecir con razón. Mas si tienen pendiente muchos castigos, esa defensa sería vana.

No dije, en efecto, que el pecado no conduce inmediatamente a la esclavitud, sino que todo pecado corre la misma suerte que la esclavitud y culpé a la naturaleza del pecado y no sólo a un carácter específico de pecado. Así pues, como todas las enfermedades incurables llevan a la muerte, sin embargo no todas son de la misma naturaleza, así también, todos los pecados engendran esclavitud, aunque no todos son de la misma naturaleza. Eva pecó cuando tocó el árbol y fue condenada por ello. Por esto [226], no cometas tú, de nuevo, un pecado [227] quizá peor que aquél. Es apropiado decir esto de los esclavos, también de los que tienen el poder en sus manos: los primeros introdujeron el pecado y los que, después de aquellos, lo heredaron, se adueñaron de la eficacia de la soberanía gracias a los que delinquiron. Puedo también hacer otra defensa: muchos se apartaron del poder una vez que volvieron a la virtud.

Si parece oportuno, en primer lugar, practiquemos [228] el discurso sobre las mujeres, para que veas cómo el bienaventurado Pablo, el que les puso las cadenas, él mismo, después, se las quitó: *Si una mujer* —dice— *tiene un marido* **[600]** *no creyente y éste decide vivir con ella, no lo despida.* ¿Por qué? *Pues, ¿qué sabes tú, mujer, si salvarás a tu marido?* [229]. Y ¿cómo —dice— una mujer puede salvarle? Si le enseña, si le catequiza, si lo conduce a la piedad. Sin embargo, decías recientemente, bienaventurado Pablo, *No permito a la mujer enseñar* [230]. ¿Por qué la haces ahora maestra del hombre? Lo hago sin entrar en contradicción conmigo mismo, muy al contrario, completamente de acuerdo.

Escucha, para que aprendas la sabiduría de Pablo, por qué la arrojó y por qué, más tarde, la volvió al trono de la enseñanza. *Que enseñe el hombre,* dice. ¿Por qué?: *Pues no fue engañado* [231]. *Adán,* —dice—, *no fue engañado. Que aprenda la mujer,* señala. ¿Por qué?: *Puesto que ella fue engañada. La mujer* —dice— *seducida cayó en transgresión* [232]. Aquí, en cambio, sucede lo contrario. Cuando el hombre sea infiel [233] y la mujer fiel, enseñe —dice— la mujer. ¿Por qué?: Porque no ha sido engañada, pues es fiel. Aprenda, por consiguiente, el hombre, puesto que fue engañado ya que es infiel. Hubo un cambio —dice— en lo referente a la enseñanza: cambie también, en lo sucesivo, lo relativo al dominio.

Universidad Pontificia de Salamanca

Εἶδες πῶς πανταχοῦ οὐ τῇ φύσει, ἀλλὰ τῇ ἀπάτῃ καὶ τῇ ἁμαρτίᾳ δείκνυσι τὴν δουλείαν ἀκολουθοῦσαν; Ἦλθε τοίνυν πρὸς τὴν γυναῖκα ἡ ἀπάτη παρὰ τὴν ἀρχὴν, ἠκολούθησε τῇ ἀπάτῃ ἡ ὑποταγή· μετέστη μετὰ ταῦτα πρὸς τὸν ἄνδρα ἡ ἀπάτη, μετέστη καὶ ἡ ὑποταγή. Καὶ καθάπερ ἐν ἀρχῇ τῷ ἀνδρὶ τὴν σωτηρίαν τῆς γυναικὸς ἐνεπίστευσεν, ἐπειδὴ οὐκ ἠπάτητο, οὑτωσὶ λέγων, Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει· οὕτω καὶ ἐνταῦθα ἐπὶ τῆς πιστῆς τῆς τὸν ἄπιστον ἄνδρα ἐχούσης, τὴν σωτηρίαν τοῦ ἀνδρὸς ἐμπιστεύει τῇ γυναικὶ, λέγων· Τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις; Τί ταύτης τῆς ἀποδείξεως σαφέστερον γένοιτ' ἄν, τοῦ μὴ τῇ φύσει τὴν δουλείαν, ἀλλὰ τῇ ἁμαρτίᾳ ἕπεσθαι; Τοῦτο καὶ ἐπὶ τῶν δούλων ἔστιν εἰπεῖν. Δοῦλος ἐκλήθης; Μή σοι μελέτω. Ὁρᾷς πῶς πάλιν δείκνυσι ψιλὸν ὄνομα τὴν δουλείαν οὖσαν, ὅταν ἀρετὴ παρῇ; Ἀλλ' εἰ καὶ δύνασαι ἐλεύθερος γενέσθαι, μᾶλλον χρῆσαι, τουτέστι, μᾶλλον μένε ἐν τῇ δουλείᾳ. Διὰ τί; Ὁ γὰρ ἐν Κυρίῳ κληθεὶς δοῦλος, ἀπελεύθερος Κυρίου ἐστίν. Εἶδες μέχρι προσηγορίας τὴν δουλείαν, ἐν τῷ πράγματι δὲ τὴν ἐλευθερίαν; Τίνος δὲ ἕνεκεν ἀφῆκε μένειν δοῦλον; Ἵνα τῆς ἐλευθερίας μάθῃς τὴν περιουσίαν. Ὥσπερ γὰρ τοῦ σβέσαι τὴν κάμινον τὴν ἐπὶ τῶν τριῶν παίδων πολὺ θαυμαστότερον ἦν τὸ μενούσης αὐτῆς ἀσινῆ διατηρῆσαι τὰ σώματα· οὕτω τοῦ λῦσαι τὴν δουλείαν τὸ μενούσης αὐτῆς δεῖξαι τὴν ἐλευθερίαν πολλῷ μεῖζόν ἐστι καὶ θαυμαστότερον. Διὰ τοῦτό φησιν· Εἰ καὶ δύνασαι ἐλεύθερος γενέσθαι, μᾶλλον χρῆσαι· τουτέστι, μένε δοῦλος· τὴν γὰρ ἀληθεστάτην ἔχεις ἐλευθερίαν.

β'. Βούλει καὶ ἐπὶ τῶν ἀρχόντων τοῦτο ἰδεῖν; Βασιλεὺς ἦν ὁ Ναβουχοδονόσορ, καὶ τὴν κάμινον ἀνῆψε μετὰ πολλῆς τῆς σφοδρότητος, καὶ τοὺς τρεῖς παῖδας εἰς μέσον παρήγαγε, νέους, ἐρήμους, οὐδεμίαν ἔχοντας προστασίαν, δούλους, αἰχμαλώτους, ἀπόλιδας. Καὶ τί φησιν; Εἰ ἀληθῶς, Σεδρὰκ, Μισὰκ, Ἀβδεναγὼ, τοῖς θεοῖς μου οὐ λατρεύετε, καὶ τῇ εἰκόνι **[601]** τῇ χρυσῇ, ᾗ ἔστησα, οὐ προσκυνεῖτε; Τί οὖν ἐκεῖνοι; Θέασαι πῶς αὐτοὺς ἡ ἀρετὴ αἰχμαλώτους ὄντας βασιλικωτέρους ἐποίησε τοῦ βασιλέως, καὶ ὑψηλότερον αὐτῶν ἔδειξε τὸ φρόνημα. Οὐ γὰρ ὡς βασιλεῖ διαλεγόμενοι, ἀλλ' ὥσπερ πρὸς ὑπήκοον τὸν λόγον ἔχοντες, οὕτω μετὰ παῤῥησίας ἀπεκρίνοντο. Οὐ χρεία, φασὶν, ἐστὶν ἡμῖν περὶ

Universidad Pontificia de Salamanca

¿Ves cómo en todas partes señala que la esclavitud sigue, no a la naturaleza, sino al engaño y al pecado? Desde el principio, el engaño alcanzó a la mujer y la sumisión acompañó al engaño. Tras esto, el engaño afectó al hombre y le afectó también la sumisión. Y en un principio creyó en la salvación de la mujer por el hombre, ya que no fue engañado, diciendo así: *Hacia tu marido irá tu apetencia y él te dominará*[234]. También en este punto, en lo referente a la mujer fiel que tiene un marido infiel, confía en la salvación del hombre a manos de la mujer, con estas palabras: *Pues ¿qué sabes, mujer, si salvarás a tu marido?*[235]. ¿Qué podría ser más claro que esta demostración, que la esclavitud no sigue a la naturaleza, sino al pecado?

Esto también es posible decirlo de los esclavos. *¿Fuiste llamado como esclavo? No te preocupes*[236]. ¿Ves cómo, cuando la virtud está presente, de nuevo demuestra que la esclavitud es sólo un nombre? *Y aunque pudieras ser libre, más bien aprovéchate*[237], es decir, permanece mejor en la esclavitud. ¿Por qué razón?: *Pues el que, siervo, fue llamado por el Señor, es liberto del Señor*[238]. ¿Ves la esclavitud hasta en la denominación, en la práctica, en cambio, la libertad? ¿Por qué permitió que permaneciera esclavo?: para que entiendas la superioridad de la libertad. Así, aunque el horno estaba encendido, como era mucho más admirable mantener ilesos los cuerpos de tres jóvenes que extinguirlo[239], de la misma manera, aunque la esclavitud exista, es con mucho mayor y más admirable mostrar la libertad que destruir la esclavitud. Por esto dijo: *Aunque pudieras incluso ser libre, aprovéchate más*[240], esto es, permanece esclavo, ya que posees la libertad más verdadera.

2. ¿Quieres ver también esto en los que tienen el poder en sus manos? Rey era Nabucodonosor, encendió el horno muy violentamente y condujo al centro[241] a los tres muchachos, jóvenes, solos, sin ninguna protección, esclavos, cautivos, desterrados[242]. ¿Y qué dice? *¿Es verdad, Sadrak, Mesak, Abeb Negó, que no servís a mis dioses ni* **[601]** *adoráis la estatua de oro que yo erigí?*[243]. ¿Y aquéllos qué? Mira cómo la virtud, a éstos, aunque eran cautivos, les hizo más regios que al rey, y cómo éste mostró una actitud más altiva que ellos.

Pues no como quienes conversan con un rey, sino como los que mantienen una conversación con un súbdito, así respondían con

Universidad Pontificia de Salamanca

τοῦ ῥήματος τούτου ἀποκριθῆναι τῷ βασιλεῖ. Οὐ διὰ ῥημάτων, ἀλλὰ διὰ πραγμάτων ποιησόμεθα τὴν ἀπόδειξιν. Ἔστι Θεὸς ἐν οὐρανῷ δυνατὸς ἐξελέσθαι ἡμᾶς. Ἀνέμνησαν αὐτὸν τῆς ἐπὶ τοῦ Δανιὴλ εὐεργεσίας, αὐτὰ τὰ ῥήματα εἰπόντες, ἅπερ ὁ προφήτης εἶπε τότε. Τί γὰρ ἐκεῖνος ἔλεγεν; Οὐκ ἔστι μάγων Γαζαρηνῶν, Χαλδαίων τὸ ῥῆμα, ὃ ὁ βασιλεὺς ἀπαιτεῖ· ἀλλ' ἔστι Θεὸς ἐν οὐρανοῖς ἀποκαλύπτων μυστήρια. Ταύτης οὖν αὐτὸν ἀναμιμνήσκουσι τῆς φωνῆς, ὥστε ποιῆσαι ἐπιεικέστερον. Εἶτά φησι· Καὶ ἐὰν μὴ, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ προσκυνοῦμεν. Ὅρα σοφίαν τῶν νέων ἐκείνων. Ἵνα μὲν γὰρ μὴ καταγνῶσιν ἀσθένειαν τοῦ Θεοῦ οἱ τότε παρόντες, εἰ συμβαίη ἐμπεσόντας αὐτοὺς εἰς τὴν κάμινον ἀποθανεῖν, προλαβόντες ὡμολόγησαν αὐτοῦ τὴν δύναμιν, εἰπόντες, ὅτι Ἔστι Θεὸς ἐν οὐρανῷ, ὃς δύναται ἐξελέσθαι ἡμᾶς· ἵνα δὲ μὴ πάλιν διαφυγόντες τὴν φλόγα, νομισθῶσιν ἐπὶ μισθῷ καὶ ἀμοιβῇ τῷ Θεῷ δουλεύειν, ἐπήγαγον, ὅτι Καὶ ἐὰν μὴ, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ προσκυνοῦμεν· ὁμοῦ καὶ τοῦ Θεοῦ τὴν δύναμιν ἀνακηρύττοντες, καὶ τὸ παράστημα τῆς ἑαυτῶν δεικνύντες ψυχῆς, ἵνα μὴ, ὅπερ ἐπὶ τοῦ Ἰὼβ εἶπεν ὁ διάβολος συκοφαντῶν, τοῦτό τις καὶ περὶ τούτων εἴπῃ. Τί δὲ περὶ τοῦ Ἰὼβ εἶπεν ὁ διάβολος; ὅτι Οὐ δωρεὰν σέβεταί σε Ἰώβ· περιέφραξας γὰρ αὐτοῦ τὰ ἔσω καὶ τὰ ἔξω. Ἵν' οὖν μὴ καὶ περὶ τούτων ἔχῃ τις τοῦτο λέγειν, ἐκεῖνοι προλαβόντες ἐνέφραξαν τὸ ἀναίσχυντον στόμα.

Ἀλλ' ὅπερ ἔλεγον, κἂν αἰχμάλωτος ᾖ τις, κἂν δοῦλος, κἂν ξένος, κἂν ἐπὶ τῆς ἀλλοτρίας διατρίβῃ γῆς, καὶ τὴν ἀρετὴν ἔχῃ μεθ' ἑαυτοῦ, πάντων βασιλέων βασιλικώτερος ἔσται. Εἶδες καὶ τὴν τῶν γυναικῶν δουλείαν λυθεῖσαν, καὶ τὴν τῶν οἰκετῶν, καὶ τὴν τῶν ἀρχομένων; Δεῦρό σοι δείξω λοιπὸν καὶ τὸν τῶν θηρίων φόβον ἐκβεβλημένον. Ἐνέβαλον τὸν Δανιὴλ εἰς τὸν λάκκον ἐπὶ τῆς αὐτῆς Βαβυλῶνός ποτε· ἀλλ' οὐκ ἐτόλμων ἅψασθαι οἱ λέοντες αὐτοῦ.

Universidad Pontificia de Salamanca

libertad. *No tenemos necesidad,* —dicen— *de responder al rey sobre este asunto* [244]. Lo demostraremos, no con palabras, sino con hechos. *Dios está en el cielo capaz de librarnos* [245]. Le recordaron la buena conducta de Daniel cuando le contestaron con las palabras que precisamente el profeta dijo en ese momento. ¿Qué decía aquél?: *No hay palabra de los magos gazarenos ni caldeos* [246], *que el rey quiere saber, pero existe un Dios en los cielos que revela los misterios* [247]. Por tanto, le recuerdan este argumento, de modo que obre de la forma más conveniente. Después añade: *Y si no, sabe, ¡oh rey!, que no serviremos a tus dioses ni adoraremos la estatua de oro que has erigido* [248]. Observa la sabiduría de aquellos jóvenes.

A fin de que los entonces presentes no pensaran con reproches en una falta de vigor de Dios, si sucediera que, una vez arrojados al horno, murieran, anticipándose [249] confesaron su fuerza, al decir que *Dios está en el cielo, el cual es capaz de librarnos* [250]. En cambio, para que a su vez no pensaran, si podían evitar el fuego, que servían a Dios por una retribución y una recompensa, añadieron: *Y si no, sabe, ¡oh rey!, que nosotros no serviremos a tus dioses ni adoraremos la estatua de oro que has erigido* [251]. Al mismo tiempo, pregonan el poder de Dios y muestran la disposición de su propia alma para que lo que dijo el diablo con calumnias contra Job, alguien no lo dijera también sobre ellos. Mas, ¿qué dijo el diablo sobre Job?: *¿No te honra Job en vano ya que has fortificado* [252] *sus posesiones de dentro y de fuera?* [253]. Por lo tanto, para que nadie pueda decir esto de ellos, anticipadamente cerraron la boca indecorosa.

*El que persigue la virtud, es libre y superior a los reyes; la virtud aleja todo miedo* [254]

Pero precisamente como decía, aunque alguno sea cautivo, aunque sea esclavo, aunque sea extranjero, aunque viva en tierra extraña, si tuviera consigo la virtud, sería más apto para reinar que todos los reyes. ¿Ves también que la esclavitud está separada de mujeres, de esclavos y de gobernantes? ¡Vamos! A continuación te mostraré también que se ha perdido el miedo a las fieras.

En la misma Babilonia, en cierto momento, fue arrojado Daniel al foso [255], pero los leones no se atrevieron a tocarle. Pues vieron en

Universidad Pontificia de Salamanca

Τὴν ἀρχαίαν γὰρ καὶ βασιλικὴν εἰκόνα διαλάμπουσαν εἶδον ἐν αὐτῷ, ἐκείνους τοὺς χαρακτῆρας ἔβλεπον, οὓς ἑώρων ἐπὶ τοῦ Ἀδὰμ πρὸ τῆς ἁμαρτίας. Καὶ γὰρ μετὰ τῆς αὐτῆς ὑποταγῆς ἐλθόντες πρὸς τὸν Ἀδὰμ, τὰ ὀνόματα ἐδέξαντο τότε. Καὶ οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἐπὶ τοῦ μακαρίου Παύλου τοῦτο γέγονε. Καὶ γὰρ ἐκεῖνος εἰς τὴν βαρβάρων νῆσον ἐκπεσὼν, παρεκάθητο πυρᾷ θερμαινόμενος· εἶτα ἀπὸ τῶν φρυγάνων ἐκπηδήσασα ἔχις καθίκετο αὐτοῦ τῆς χειρός. Τί οὖν μετὰ ταῦτα ἐγίνετο; Ἐξέπεσε τὸ θηρίον εὐθέως. Ἐπειδὴ γὰρ ἁμαρτίαν οὐχ εὗρεν, οὐδὲ δακεῖν ἴσχυσεν· ἀλλ' ὥσπερ ἡμεῖς, ἐπειδάν τινα σκόπελον λεῖον βουλώμεθα ἀναβῆναι, μηδαμόθεν εὑρίσκοντες ἀντιλαβὰς, καταπίπτομεν εὐθέως, κἂν πέλαγος ὑποκείμενον ᾖ, κἂν βάραθρον· οὕτω καὶ τὸ θηρίον ἐκεῖνο, καὶ ταῦτα πυρᾶς ὑποκειμένης, οὐχ εὑρὸν τῆς ἁμαρτίας τὴν ἀντιλαβὴν, οὐδὲ ὅπου τοὺς **[602]** ὀδόντας ἀπερείσῃ, κατέπεσεν εἰς τὴν πυρὰν, καὶ διεφθάρη. Βούλει καὶ τρίτον εἴπω σοι τρόπον ἀπολογίας; Εἷς μέν ἐστι, τὸ μὴ τοὺς προτέρους ἡμαρτηκέναι μόνον, ἀλλὰ καὶ τοὺς μετ' ἐκείνους· δεύτερος, τὸ τοὺς κατωρθωκότας, καὶ ταῦτα ἐν τῷ παρόντι διατρίβοντας βίῳ, κουφοτέρας πειραθῆναι τῆς δουλείας· μᾶλλον δὲ ὁλοκλήρου ταύτης ἀπαλλαγῆναι, καθάπερ οὖν καὶ ἐπὶ τῶν γυναικῶν, καὶ ἐπὶ τῶν ἀρχομένων, καὶ ἐπὶ τῶν θηρίων ἐδείξαμεν. Τρίτος μετ' ἐκείνους, τὸ μείζονα τῶν ἀγαθῶν, ὧν οἱ παρὰ τὴν ἀρχὴν ἁμαρτόντες ἡμᾶς ἐξέβαλον, παραγενόμενον ἡμῖν ὑποσχέσθαι τὸν Χριστὸν ἀγαθὰ νῦν. Τί γὰρ θρηνεῖς, εἰπέ μοι; ὅτι σε ἁμαρτὼν ὁ Ἀδὰμ ἐξέβαλε τοῦ παραδείσου; Κατόρθωσον, καὶ ζήλωσον σὺ ἀρετήν· καὶ οὐχὶ παράδεισον, ἀλλ' αὐτὸν ἀνοίγω σοι τὸν οὐρανὸν, καὶ οὐδὲν ἐκ τῆς τοῦ πρωτοπλάστου παρακοῆς ἀφίημί σε παθεῖν δεινόν. Θρηνεῖς ὅτι σε τῆς ἀρχῆς τῶν θηρίων παρέλυσεν; Ἰδοὺ σοι καὶ δαίμονας ὑποτάττω, ἐὰν προσέχῃς. Πατεῖτε γὰρ, φησὶν, ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. Οὐκ εἶπεν, ἄρχετε, καθάπερ ἐπὶ τῶν θηρίων, ἀλλὰ, Πατεῖτε, ἐπιτεταμένην εἰσάγων τὴν ἀρχήν.

γ'. Διὰ τοῦτο καὶ ὁ Παῦλος οὐκ εἶπεν, Ὁ Θεὸς ὑποτάξει τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν, ἀλλ' Ὁ Θεὸς συντρίψει τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν. Οὐκέτι, καθάπερ πρότερον, Αὐτός σου τηρήσει κεφαλὴν, καὶ σὺ αὐτοῦ τηρήσεις

Universidad Pontificia de Salamanca

él una imagen, antigua y regia que brillaba, miraban aquellos signos distintivos que vieron en Adán antes del pecado. En efecto, cuando se acercaron a Adán con la misma sumisión, entonces recibieron los nombres. Y no aquí sólo [256], sino que también sucedió lo mismo con el bienaventurado Pablo.

Efectivamente, aquél, cuando llegó a tierra a la isla de unos bárbaros [257], se sentó junto al fuego para calentarse: entonces, una víbora que salía huyendo de las brozas, mordió su mano. ¿Qué sucedió después? Al instante se apartó el reptil. Pues, una vez que no encontró pecado, no pudo morder [258]. Pero, como nosotros, cuando queremos subir a una roca elevada y lisa, al no encontrar un lugar donde agarrarnos en parte alguna, caemos inmediatamente, ya al mar que está debajo, ya al abismo, así también aquel animal, ni encontró el asidero del pecado, ni dónde **[602]** clavar los dientes, mas, como el fuego estuviera cerca, cayó en él y murió.

¿Quieres también que te exponga tres tipos de defensa [259]? El primero: no pecaron sólo los primeros, sino también los que vinieron después de aquéllos. El segundo: los que se han dirigido convenientemente y se han ocupado de ello en la vida presente, han experimentado una esclavitud más fácil de soportar, o más bien, se apartaron de ésta completamente, como mostramos en las mujeres, en los que son gobernados y también en las bestias. El tercero: Cristo, al hacerse presente, ahora nos ofrece bienes mayores que los bienes de los que nos despojaron los que pecaron desde el principio.

¿Por qué te lamentas, dime? ¿Porque cuando pecó Adán te arrojó del Paraíso? Actúa rectamente e imita la virtud, y no ya el Paraíso, sino el cielo mismo te abro, y no permito que tú sufras una desgracia por la desobediencia del primer hombre [260]. ¿Te lamentas porque te libró del dominio de las bestias? He aquí que, si mostraras interés, también te someto a las divinidades. *Pisad,* —dice—, *sobre serpientes y escorpiones, y sobre todo poder del enemigo* [261]. No dijo «dominad», como con las bestias, sino «pisad», ya que nos lleva a un dominio que ha aumentado en intensidad.

*3.* Por esto también, Pablo no dijo: «Dios someterá a Satanás bajo vuestros pies», sino, *Dios aplastará a Satanás bajo vuestros pies* [262]. De ningún modo como antes, *Él observará tu cabeza y tú observarás su talón,* sino al contrario, completa es la victoria, inta-

Universidad Pontificia de Salamanca

πτέρναν· ἀλλ' ὁλόκληρος ἡ νίκη, καθαρὸν τὸ τρόπαιον, παντελὴς ἀφανισμὸς τοῦ πολεμίου, καὶ συντριβὴ, καὶ ἀπώλεια. Ὑπέταξέ σε τῷ ἀνδρὶ ἡ Εὔα· ἀλλ' ἐγώ σε οὐκ ἀνδρὸς ὁμότιμον μόνον, ἀλλὰ καὶ αὐτῶν ποιῶ τῶν ἀγγέλων, ἐὰν ἐθέλῃς. Ἀπεστέρησέ σε τῆς παρούσης ζωῆς· ἐγὼ δέ σοι καὶ τὴν μέλλουσαν χαρίζομαι, τὴν ἀγήρω καὶ ἀθάνατον, καὶ μυρίων γέμουσαν ἀγαθῶν. Μηδεὶς τοίνυν διὰ τοὺς προτέρους ἐπηρεάσθαι νομιζέτω· καὶ γὰρ ἂν θελήσωμεν ἅπασιν, οἷς παρέχειν μέλλει, ἐπεξελθεῖν, πολλῷ μείζονα τὰ δοθέντα, ὧν ἀπωλέσαμεν, εὑρήσομεν. Ἀπὸ δὲ τῶν εἰρημένων καὶ τὰ λοιπὰ δῆλα. Βίον ἐπίμοχθον εἰσήγαγεν ὁ Ἀδάμ· ὁ Χριστὸς ὑπέσχετο ζωὴν, ἔνθα ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμὸς, καὶ τὴν βασιλείαν τῶν οὐρανῶν χαριεῖσθαι ἐπαγγέλλεται. Δεῦτε γὰρ, φησὶν, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. Ἐπείνασα γὰρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· ξένος ἤμην, καὶ συνηγάγετέ με· γυμνὸς ἤμην, καὶ περιεβάλετέ με· ἐν φυλακῇ, καὶ ἤλθετε πρός με.

Ἆρα οὖν ἀκουσόμεθα καὶ ἡμεῖς τῆς μακαρίας ἐκείνης φωνῆς; Οὐ σφόδρα ἂν ἰσχυρισαίμην ἐγώ· πολλὴ γὰρ παρ' ἡμῖν τῶν πενήτων ἡ ὑπεροψία. Νηστείας καιρὸς, παραίνεσις τοσαύτη καὶ διδασκαλία σωτηρίων διδαγμάτων, εὐχαὶ συνεχεῖς, σύλλογοι καθημερινοὶ, καὶ τί μετὰ τὴν τοσαύτην ἐπιμέλειαν ὄφελος; Οὐδέν. Ἀναχωροῦμεν γὰρ ἐντεῦθεν ὁρμαθοὺς πενήτων ὁρῶντες στοιχηδὸν ἑκατέρωθεν ἑστηκότων· καὶ ὥσπερ κίονας βλέποντες, ἀλλ' οὐκ ἀνθρώπινα σώματα, οὕτως ἀνηλεῶς παρατρέχομεν. Ὥσπερ οὖν ἀνδριάντας ἀψύχους, ἀλλ' οὐκ ἐμπνέοντας **[603]** ἀνθρώπους βλέποντες, οὕτως οἴκαδε ἐπειγόμεθα. Τὸ γὰρ πεινῆν καταναγκάζει, φησί. Καὶ μὴν τὸ πεινῆν πειθέτω μένειν· αἱ μὲν γὰρ ἐμπεπλησμέναι γαστέρες, κατὰ τὴν παροιμίαν, τὰς πεινώσας ἀγνοοῦσιν· αἱ δὲ πεινῶσαι ἐκ τῆς οἰκείας ἀνάγκης καὶ τὴν ἀλλοτρίαν ἐπιγινώσκουσι· μᾶλλον δὲ οὐδὲ οὕτω δυνατὸν πᾶσαν αὐτὴν κατιδεῖν. Σὺ μὲν γὰρ ἐπὶ παρεσκευασμένην τρέχεις τράπεζαν, καὶ οὐδὲ μικρὸν ἀναμεῖναι ἀνέχῃ· ὁ δὲ πένης ἕστηκε μέχρι τῆς ἑσπέρας αὐτῆς, σπεύδων καὶ ἐπειγόμενος τὴν ἐφήμερον τροφὴν ἀπαρτίσαι· καὶ ὁρῶν τὴν μὲν ἡμέραν πληρωθεῖσαν,

Universidad Pontificia de Salamanca

chable el trofeo, completa la desaparición del enemigo, la exterminación y destrucción [263]. Eva te sometió al hombre, pero yo, si quieres, no sólo te hago igual en dignidad al hombre, sino también a los ángeles mismos. Te privó de la vida presente, yo, en cambio, te daré la vida futura, eterna, inmortal y repleta de innumerables bienes. Por consiguiente, que nadie piense que por los primeros [264] fue ofendido.

En efecto, si deseáramos dirigirnos a todo cuanto nos fuera posible, encontraríamos con mucho, dones mayores que los que perdimos. Lo que resta es evidente teniendo como punto de partida lo hasta ahora expuesto. Adán llevó una vida fatigosa. Cristo ofreció una vida [265], y con ello hizo huir el dolor, el sufrimiento y el gemido, y promete conceder el reino de los cielos. *Venid los benditos de mi Padre,* —dice— *heredad el Reino preparado para vosotros desde la creación del mundo. Porque tuve hambre y me disteis de comer; tuve sed y me disteis de beber; era extranjero y me acogisteis; estaba desnudo y me vestisteis; en la cárcel y vinisteis a verme* [266].

*Epílogo moral. Se exhorta a la limosna* [267]

¿Oiremos también nosotros, acaso, aquella dichosa voz? No lo afirmaría insistentemente, ya que entre nosotros el desprecio por los pobres es grande.

Tiempo de ayuno, una exhortación tal, enseñanza de los medios de salvación, oraciones continuas, reuniones cotidianas, mas, después de tanto cuidado, ¿cuál es el provecho [268]? Ninguno. Nos retiramos de allí, aunque vemos los ojos de los pobres colocados en filas en uno y otro lado, y como si viéramos columnas y no cuerpos humanos, así, sin misericordia, pasamos apresuradamente. Como si viéramos estatuas sin alma, y no **[603]** hombres vivos, así nos apresuramos hacia nuestras casas. Estar hambriento —dice— obliga. Que tener hambre persuada a subsistir, pues los estómagos llenos, según el proverbio, ignoran a los hambrientos, pero los hambrientos, por su propia necesidad, conocen también la ajena o, mejor dicho, ni siquiera es posible darse cuenta de toda ésta.

Tú vas con rapidez a la mesa preparada y no soportas aguardar un poco. El pobre, en cambio, permaneció hasta la tarde misma, inquieto y ansioso por conseguir la comida cotidiana. Y cuando ve que el día se acaba y, sin embargo, no ha recogido todavía todo el

Universidad Pontificia de Salamanca

τὸ δὲ ἀργύριον οὐδέπω πληρωθὲν ἅπαν, τὸ πρὸς τροφὴν ἀρκοῦν ἐφήμερον, ὀδυνᾶται καὶ ἐμπίπραται, καὶ μείζονα τῆς οἰκείας δυνάμεως τολμᾷν ἀναγκάζεται. Διὰ τοῦτο ἐν ἑσπέρᾳ σφοδρότερον ἡμῖν ἐπιτίθενται, ὀμνύντες, ὁρκοῦντες, θρηνοῦντες, ὀλοφυρόμενοι, τὰς χεῖρας ἐκτείνοντες, μυρία ἕτερα ἀναισχυντεῖν ἀναγκαζόμενοι. Δεδοίκασι γὰρ μὴ, πάντων οἴκαδε ἀναχωρησάντων, ὡς ἐν ἐρήμῳ, τῇ πόλει πλανᾶσθαι μέλλωσι. Καὶ καθάπερ οἱ ναυαγίῳ περιπεσόντες ἐν ἡμέρᾳ, ἐπειδὰν ἐπιλάβωνται σανίδος, πρὸ τῆς ἑσπέρας τὸν λιμένα καταλαβεῖν ἐπείγονται, μήποτε τῆς νυκτὸς ἐπελθούσης ἔξω μείναντες χαλεπωτέρου πειραθῶσι τοῦ ναυαγίου· οὕτω καὶ οἱ πένητες, καθάπερ ναυάγιον δεδοικότες τὸν λιμὸν, σπεύδουσι πρὸ τῆς ἑσπέρας τὸ πρὸς τροφὴν αὐτοῖς ἀργύριον ἀρκοῦν συναγαγεῖν, ἵνα μὴ, πάντων ἀποδημησάντων οἴκαδε, ἔξω τοῦ λιμένος μείνωσι. Λιμὴν γὰρ αὐτοῖς αἱ τῶν ἀντιλαμβανομένων χεῖρές εἰσιν.

δ'. Ἡμεῖς δὲ οὔτε ἐν ἀγορᾷ πρὸς τὰς ἐκείνων ἐκκαμπτόμεθα συμφορὰς, οὔτε οἴκαδε ἀπελθόντες· ἀλλὰ καὶ τῆς τραπέζης ἡμῖν παρακειμένης, πολλάκις καὶ μυρίων γενούσης ἀγαθῶν (εἴγε ἀγαθὰ χρὴ καλεῖν, ἃ ἐπὶ κατακρίσει τῆς ἡμῶν ἀπανθρωπίας ἐσθίομεν), πλὴν ἀλλὰ καὶ τῆς τραπέζης παρακειμένης, ἀκούοντες κάτωθεν διὰ τῶν στενωπῶν βαδιζόντων ἐκείνων, καὶ μεγάλα βοώντων ἐν τοῖς ἀμφόδοις, ὀδυνωμένων ἐν βαθυτάτῳ σκότῳ, ἐν ἐρημίᾳ πολλῇ, οὐδὲ οὕτως ἐπικαμπτόμεθα· ἀλλὰ καὶ ἐμπλησθέντες, καὶ πρὸς ὕπνον βαδίζοντες, καὶ ἐν ἐκείνῳ πάλιν τῷ καιρῷ μεγάλα κάτωθεν ὀδυρομένων ἀκούοντες, ὥσπερ κυνὸς λυττῶντος, ἀλλ' οὐκ ἀνθρωπίνης ἀκούοντες φωνῆς οὕτω παρατρέχομεν· καὶ οὔτε πρὸς τὸν καιρὸν ἐπιστρεφόμεθα, ὅτι ἀωρὶ λοιπὸν τῶν νυκτῶν καθευδόντων ἁπάντων ἐκεῖνος ὀδύρεται μόνος, οὔτε πρὸς τὸ κοῦφον τῆς αἰτήσεως, ὅτι ἄρτου πλέον οὐδὲν ἡμᾶς ἀπαιτεῖ, ἢ ἀργύριον ὀλίγον, οὔτε πρὸς τὸ μέγεθος τῆς συμφορᾶς, ὅτι λιμῷ παλαίει διηνεκεῖ, οὔτε πρὸς τὴν ἐπιείκειαν τοῦ ἱκέτου, ὅτι τοσαύτῃ κατεχόμενος ἀνάγκῃ, οὐ πρὸς τὰς θύρας ἐλθεῖν, οὐκ ἐγγὺς γενέσθαι τολμᾷ, ἀλλὰ κάτωθεν ἐκ πολλοῦ τοῦ διαστήματος ποιεῖται τὴν ἱκετηρίαν.

Universidad Pontificia de Salamanca

dinero, el suficiente para la comida diaria, siente dolor, y se envanece [269], y se obliga a intentar con osadía algo mayor que sus propias fuerzas. Por esto, por la tarde, se nos acercan con más vehemencia, mientras juran, ruegan encarecidamente, se lamentan, se quejan, extienden las manos, y se fuerzan a obrar sin pudor otras miles cosas [270]. Pues temen que, retirados todos a sus casas, tengan que andar errantes por la ciudad como si de un desierto se tratara.

Como los que sufren un naufragio durante el día, una vez que han cogido un madero [271], se apresuran a llegar al puerto antes del atardecer, no sea que al llegar la noche, si están fuera, sufran un naufragio más duro, así también los pobres, temerosos del hambre como de un naufragio, se apresuran, antes del atardecer, a reunir el dinero suficiente para su alimentación, a fin de que, idos todos a sus casas, no estén fuera del puerto: pues puerto es para ellos las manos de los que los amparan.

*Describe la condición miserable de los pobres y reprende a los ricos su dureza de corazón* [272]

Nosotros, en cambio, no nos doblegamos ante sus desgracias ni en el ágora ni cuando nos dirigimos a nuestras casas, incluso con una mesa a nuestra disposición, a menudo repleta de innumerables manjares (si puede denominarse manjares a lo que comemos para condena de nuestra falta de misericordia). Además, con la mesa preparada, aunque les escuchamos caminar por las callejas, gritar en las calles, sentir dolor en la más espesa oscuridad, en completa soledad, ni siquiera así, nos conmovemos. Por el contrario, incluso ya saciados, mientras nos vamos quedando dormidos, tampoco en aquel momento, al oír que se quejan abajo, como si oyéramos a un perro rabioso, aunque escuchamos una voz humana, no acudimos.

No nos interesa la situación, porque aquél sólo se duele a deshora, por la noche, cuando todos duermen, ni concedemos importancia a la insignificancia de su petición, ya que sólo nos pide pan, o un poco de dinero, ni nos cuidamos de la magnitud de su desdicha, ya que lucha contra un hambre continua, ni reparamos en la moderación del que suplica, porque, aun oprimido por necesidad tal, no se atreve a acercarse a la puerta ni a estar cerca, sino que suplica abajo, a mucha distancia.

Universidad Pontificia de Salamanca

Κἂν μὲν λάβῃ, μυρίας δίδωσι τὰς εὐχάς· ἂν δὲ μὴ λάβῃ, οὐδὲ οὕτω πικρὸν ἐκβάλλει ῥῆμα, οὐδὲ λοιδορεῖται καὶ βλασφημεῖ τοὺς δυναμένους δοῦναι, καὶ μὴ παρέχοντας· ἀλλ' ὥσπερ τις ὑπὸ δημίου τινὸς ἐπὶ κόλασιν ἀγόμενος ἀφόρητον, εἶτα τοὺς παριόντας ἅπαντας παρακαλῶν, ἱκετεύων, καὶ μηδεμιᾶς τυγχάνων ἀντιλήψεως, μετὰ πολλῆς **[604]** τῆς ἀπανθρωπίας πρὸς τὴν κόλασιν ἄγεται· οὕτω καὶ οὗτος, καθάπερ ὑπὸ δημίου τοῦ λιμοῦ πρὸς τὴν νύκτα ἑλκόμενος καὶ τὴν ἀφόρητον ἀγρυπνίαν, ἐκτείνει μὲν τὰς χεῖρας, μετὰ σφοδρᾶς τῆς βοῆς τοὺς ἐν ταῖς οἰκίαις ἄνω καθημένους παρακαλῶν, οὐδεμιᾶς δὲ φιλανθρωπίας τυγχάνων, ἀνηλεῶς ἀποπέμπεται καὶ μετὰ πολλῆς τῆς ὠμότητος. Ἀλλ' οὐδὲν τούτων ἡμᾶς ἐπικάμπτει, ἀλλὰ μετὰ τοσαύτην ἀπανθρωπίαν εἰς τὸν οὐρανὸν ἐκτεῖναι τὰς χεῖρας τολμῶμεν, καὶ περὶ ἐλέου διαλεχθῆναι τῷ Θεῷ, καὶ συγγνώμην αἰτῆσαι τῶν οἰκείων ἁμαρτημάτων· καὶ οὐ δεδοίκαμεν μὴ κεραυνὸς μετὰ τὴν τοιαύτην εὐχὴν κατενεχθῇ, μετὰ τὴν τοσαύτην ὠμότητα καὶ ἀπανθρωπίαν. Πῶς πρὸς ὕπνον, εἰπέ μοι, βαδίζομεν καὶ ἀνάπαυσιν, καὶ οὐ δεδοίκαμεν μὴ κατ' ὄναρ αὐτὸς οὗτος ὑμῖν ὁ πένης ἐπιστὰς, αὐχμῶν, ῥυπῶν ῥάκια περιβεβλημένος, ὀδύρηται καὶ θρηνήσῃ, τὴν ὠμότητα ἐγκαλῶν; Καὶ γὰρ πολλῶν πολλάκις ἤκουσα λεγόντων, ὅτι μεθ' ἡμέραν ὑπεριδόντες τῆς τῶν πτωχῶν ἀντιλήψεως, ἐν νυκτὶ σχοινία περιβεβλημένους ἑαυτοὺς εἶδον καὶ ἑλκομένους ὑπὸ τῆς τῶν πενήτων χειρὸς, σπαραττομένους, μυρία πάσχοντας πράγματα. Ἀλλὰ ταῦτα μὲν ὕπνος καὶ ὄναρ, καὶ πρόσκαιρος τιμωρία· ἡμεῖς δὲ οὐ δεδοίκαμεν, εἰπέ μοι, μήποτε τὸν πένητα τοῦτον τὸν ὀδυρόμενον καὶ βοῶντα καὶ ὀλοφυρόμενον ἐν τοῖς κόλποις ἴδωμεν τοῦ Ἀβραὰμ, καθάπερ ποτὲ τὸν Λάζαρον ὁ πλούσιος ἐκεῖνος; Τὰ δὲ ἐντεῦθεν ἀφίημι ὑμῶν τῷ συνειδότι, τὰ πικρὰ καὶ ἀπαραμύθητα ἐκεῖνα κολαστήρια, πῶς ᾔτησεν ὕδωρ, πῶς οὐδὲ σταγόνος ἔτυχε, πῶς ἡ γλῶττα ἀπετηγανίζετο, πῶς πολλὴν τὴν ἱκετηρίαν θεὶς, οὐδεμιᾶς συγγνώμης ἀπέλαυσε, καὶ πῶς ἀθάνατα ἐκολάζετο. Ἀλλὰ γὰρ μὴ γένοιτο ἡμᾶς ταῦτα διὰ τῆς πείρας μαθεῖν, ἀλλὰ διὰ τῶν λόγων ἀκούσαντας φυγεῖν τὴν διὰ τῶν ἔργων ἀπειλὴν, καὶ τῆς τοῦ προπάτορος Ἀβραὰμ φιλοφροσύνης ἀξίους ἀποδειχθέντας, εἰς τὸν αὐτὸν ἐκείνῳ χωρῆσαι τόπον, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ τιμὴ, δόξα, κράτος σὺν τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Universidad Pontificia de Salamanca

Si recibe algo, da miles de gracias, mas si nada recibe, aun así, no profiere palabra cruel alguna, ni insulta ni maldice a los que le pueden dar y no le dan, antes al contrario, como cuando alguien es conducido por el verdugo a un castigo insoportable, cuando exhorta e invoca a todos los presentes, al no recibir auxilio, **[604]** con mucha crueldad es llevado al castigo, así también éste, arrastrado hacia la noche por el verdugo del hambre y el insoportable insomnio, extiende las manos mientras exhorta con un fuerte grito a los que están sentados arriba en sus casas, mas, al no alcanzar benevolencia, es despachado sin misericordia y con gran crueldad. Nada de éstos nos conmueve, sin embargo.

Incluso, después de tanta crueldad, nos atrevemos a extender las manos al cielo, a hablar a Dios de compasión y a pedir perdón por los propios pecados. Y no sentimos ningún temor de que, tras esa súplica, después de tal crueldad y dureza, un rayo nos fulmine. ¿Por qué, dime, nos vamos a dormir y a descansar, y no tememos que, presentado en sueños ese pobre en persona, polvoriento, sucio, vestido con andrajos, se duela y lamente en tanto echa en cara la crueldad? En efecto, a menudo escuché a muchos que decían que, por no haber prestado ayuda durante el día a los mendigos, por la noche vieron que ellos mismos estaban rodeados de cuerdas y que estaban arrastrados por la mano de los pobres, torturados, padeciendo innumerables males. Esto es un sueño, una visión nocturna y un castigo momentáneo. Pero nosotros, dime, ¿no sentimos temor, acaso, de que veamos a ese pobre, el que se lamenta, grita y llora en el seno de Abraham, como aquel rico a Lázaro [273]?

Lo referente a ese episodio lo dejo a vuestro criterio: aquellos castigos amargos e inexorables, cómo pidió agua, cómo no consiguió ni una gota, cómo la lengua fue torturada, cómo, después de pronunciar muchas súplicas, no obtuvo ningún permiso, y cómo fue castigado con suplicios eternos.

Ojalá no suceda que nosotros conozcamos esto por experiencia, sino que, tras escuchar las palabras, evitemos la amenaza de los hechos, y probándonos dignos de la benevolencia del antepasado Abraham, vayamos con él al mismo lugar, por la gracia y bondad de nuestro Señor Jesucristo, para Él y para el Padre, honor, gloria y poder juntamente con el Espíritu Santo, ahora y siempre, por los siglos de los siglos. Amén.

Universidad Pontificia de Salamanca

ΛΟΓΟΣ •(2)'.

Περὶ τοῦ ξύλου, εἰ ἐξ ἐκείνου γέγονεν ἡ γνῶσις τοῦ καλοῦ καὶ τοῦ πονηροῦ τῷ Ἀδὰμ, ἢ καὶ πρὸ τῆς βρώσεως εἶχε τὴν διάγνωσιν ταύτην· ἐν ᾧ καὶ περὶ νηστείας, καὶ περὶ τοῦ δεῖν ἐν οἰκίᾳ μελετᾷν τὰ λεγόμενα ἐν ἐκκλησίᾳ.

α'. Φιλῶ μὲν τὴν νηστείαν, ὅτι μήτηρ σωφροσύνης ἐστὶν, καὶ πηγὴ φιλοσοφίας ἁπάσης· φιλῶ δὲ αὐτὴν καὶ δι' ὑμᾶς, καὶ διὰ τὴν ὑμετέραν ἀγάπην, ὅτι μοι ταύτην τὴν ἱερὰν καὶ τιμίαν ὑμῶν συνήγαγε σύνοδον, καὶ τὰ ποθούμενα πρόσωπα δίδωσι πάλιν ἰδεῖν, καὶ παρέχει μετὰ ἀδείας ἐντρυφῆσαι τῇ καλῇ ταύτῃ πανηγύρει καὶ ἑορτῇ. Καὶ γὰρ καὶ πανήγυριν καὶ ἑορτὴν καὶ μυρία ἀγαθὰ οὐκ ἄν τις ἁμάρτοι τὴν ὑμετέραν σύνοδον προσειπών. Εἰ γὰρ εἰς ἀγοράν τις ἐμβαλὼν, καὶ ἑνὶ συντυγχάνων φίλῳ, πολλάκις πᾶσαν ἀθυμίαν ἀποτίθεται· ἡμεῖς οὐκ εἰς ἀγορὰν, ἀλλ' εἰς ἐκκλησίαν ἀπαντῶντες, καὶ οὐχ ἑνὶ συντυγχάνοντες φίλῳ, ἀλλὰ **[605]** τοσούτοις καὶ τοιούτοις ἀδελφοῖς καὶ πατράσι συγγινόμενοι, πῶς οὐ πᾶσαν ἀποθησόμεθα ἀθυμίαν; πῶς οὐ πᾶσαν ἡδονὴν καρπωσόμεθα; Οὐ γὰρ τῷ πλήθει μόνον οὗτος βελτίων ὁ σύλλογος τῶν συνεδρίων τῶν ἐν ταῖς ἀγοραῖς, ἀλλὰ καὶ αὐτῇ τῇ φύσει τῆς διαλέξεως. Οἱ μὲν γὰρ ἐν ἀγοραῖς συνεδρεύοντες καὶ μετὰ ἀλλήλων συγκαθήμενοι κύκλῳ, πολλάκις καὶ περὶ ἀνοήτων διαλέγονται πραγμάτων, καὶ ψυχρὰν εἰσάγουσιν ὁμιλίαν, καὶ φθέγγονται περὶ τῶν οὐδὲν αὐτοῖς προσηκόντων. Καὶ γὰρ εἰώθαμεν, ὡς τὰ πολλὰ, μετὰ πλείονος σπουδῆς τὰ ἀλλότρια περιεργάζεσθαι καὶ πολυπραγμονεῖν. Ὅτι μὲν οὖν ἐστιν ἐπισφαλὲς καὶ κίνδυνον ἔχον, τὰ ῥήματα προϊέναι καὶ ἀκούειν τοιαῦτα, καὶ παρασύρεσθαι, καὶ πολλοὶ πολλάκις ἀπὸ τῶν τοιούτων συνεδρίων χειμῶνες ἐπηωρίσθησαν ἐν οἰκίαις, παρίημι νῦν· ὅτι δὲ ἀνόνητος καὶ ψυχρὰ καὶ βιωτικὴ πᾶσα ἐκείνη ἡ διάλεξις, καὶ πνευματικὸς λόγος οὐκ ἄν ποτε ταχέως εἰς τοιοῦτον εἰσέλθοι σύλλογον, οὐδεὶς ἀντείποι. Ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλ' ἅπαν τοὐναντίον· πᾶσα μὲν γὰρ ἀκερδὴς διάλεξις ἀπελήλαται, πᾶσα δὲ πνευματικὴ διδασκα-

Universidad Pontificia de Salamanca

## SERMÓN SEXTO [274]

*Acerca del árbol, si de él procede el conocimiento del bien y del mal de Adán, o si tenía ese conocimiento antes de haber comido de él; acerca también del ayuno y sobre la necesidad de ejercitar en casa lo dicho en la Iglesia*[275].

### *1. Cuánto más útil es participar en las asambleas que en las reuniones impías* [276]

Amo, sin duda, el ayuno, porque es madre de templanza y fuente de toda filosofía. Lo quiero también por vosotros y por vuestra caridad, porque me condujo a vuestra sagrada y venerable asamblea, me da la oportunidad de contemplar los rostros deseados y ocasión de gozar con confianza de esta noble reunión y fiesta. No se equivocaría quien calificara de reunión, fiesta y sede de innumerables bienes vuestra asamblea [277]. Si alguien olvida su tristeza cuando va al ágora y se encuentra con un amigo, nosotros, que no vamos al ágora, sino a la Iglesia, y nos encontramos, no sólo con un amigo, **[605]** sino con tantos y tales hermanos y padres, ¿cómo no olvidaremos lo que nos aflige?, ¿cómo no gozaremos de tanta alegría?

Esta asamblea no es mejor que las reuniones en las plazas públicas sólo por la cantidad de los asistentes, sino también por la calidad de la conversación. Ciertamente, los que se reúnen en el ágora y se sientan en círculo habitualmente tratan temas sin importancia, forman una reunión inútil y hablan de cosas que nada les interesa. Nosotros, en cambio, como en muchas cosas, acostumbramos con gran empeño a inmiscuirnos y a abordar cosas ajenas.

Omito ahora que, sin duda, es arriesgado y peligroso participar en esas conversaciones, escucharlas y verse arrastrado por ellas, pues a menudo, por estas reuniones, estallaron muchas[278] disputas en las familias; y nadie negará, por otro lado, que, verdaderamente, toda esa conversación es inútil, vana y mundana, y que un tema de conversación relacionado con lo espiritual no tendría fácil cabida en una reunión de esas características.

Sin embargo, aquí no sucede eso sino todo lo contrario, ya que se ha excluido la disertación inútil e introducido la enseñanza espiritual. Efectivamente, dialogamos sobre nuestra alma, sobre los bienes

Universidad Pontificia de Salamanca

λία εἰσενήνεκται. Καὶ γὰρ περὶ ψυχῆς τῆς ἡμετέρας διαλεγόμεθα, καὶ τῶν ψυχῇ προσηκόντων ἀγαθῶν, καὶ περὶ τῶν ἀποκειμένων ἐν τοῖς οὐρανοῖς στεφάνων, καὶ περὶ τῶν λαμπρῶν βίων, καὶ περὶ τῆς φιλανθρωπίας τοῦ Θεοῦ, καὶ περὶ τῆς προνοίας τοῦ παντὸς, καὶ περὶ τῶν ἄλλων ἁπάντων τῶν μάλιστα προσηκόντων ἡμῖν, καὶ τίνος ἕνεκεν γεγόναμεν, καὶ ποία μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν ἀπαντήσεται λῆξις ἡμῖν, καὶ ἐν τίσι τὰ ἡμέτερα ἔσται τότε. Καὶ τοῦ συλλόγου τούτου οὐχ ἡμεῖς μόνον, ἀλλὰ καὶ προφῆται καὶ ἀπόστολοι κοινωνοῦσι· καὶ τὸ δὴ μεῖζον πάντων, αὐτὸς ὁ τῶν ἁπάντων Δεσπότης μέσος ἡμῶν ἕστηκεν Ἰησοῦς. Αὐτὸς γάρ φησιν, Ὅπου δύο ἢ τρεῖς συνηγμένοι εἰσὶν εἰς τὸ ὄνομά μου, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν. Εἰ δὲ ὅπου δύο ἢ τρεῖς εἰσι συνηγμένοι, ἐν μέσῳ αὐτῶν ἐστι, πολλῷ μᾶλλον ὅπου τοσοῦτοι μὲν ἄνδρες, τοσαῦται δὲ γυναῖκες, τοσοῦτοι δὲ πατέρες, καὶ ἀπόστολοι καὶ προφῆται ἐν μέσῳ πάρεισι.

Διὸ καὶ ἡμεῖς μετὰ πλείονος προθυμίας φθεγγόμεθα τῆς ἐκεῖθεν ἀπολαύοντες ῥοπῆς, καὶ τὴν ὑπόσχεσιν ὑμῖν ἀποδιδόαμεν. Ὑπεσχόμεθα γὰρ ἐρεῖν περὶ τοῦ ξύλου πρότερον, εἰ ἐξ ἐκείνου γέγονεν ἡ γνῶσις τοῦ καλοῦ καὶ τοῦ πονηροῦ τῷ Ἀδὰμ, ἢ καὶ πρὸ τῆς βρώσεως εἶχε τὴν διάγνωσιν ταύτην. Θαῤῥοῦντες οὖν ἂν εἴποιμεν νῦν, ὅτι καὶ πρὸ τῆς βρώσεως ταύτην εἶχε τὴν διάγνωσιν. Εἰ γὰρ μὴ ᾔδει τί μὲν καλὸν, τί δὲ πονηρὸν, καὶ αὐτῶν τῶν ἀλόγων ἀλογώτερος ἦν, καὶ τῶν δούλων ὁ δεσπότης ἀνοητότερος. Πῶς γὰρ οὐκ ἄτοπον, αἶγας μὲν καὶ πρόβατα εἰδέναι ποία μὲν αὐτοῖς βοτάνη χρήσιμος, ποία δὲ ὀλεθρία, καὶ μὴ πᾶσιν αὐτὰ ἐπιέναι τοῖς φαινομένοις, ἀλλ' ἔχειν τὴν διάγνωσιν, καὶ εἰδέναι σαφῶς, τί μὲν αὐτοῖς ἐπιβλαβὲς, τί δὲ ὠφέλιμον· τὸν δὲ ἄνθρωπον τοσαύτης ἀποστερεῖσθαι τῆς ἀσφαλείας; Εἰ γὰρ μὴ τοῦτο εἶχεν, οὐδενὸς ἄξιος ἦν, ἀλλὰ καὶ εὐτελέστερος πάντων **[606]** ὑπῆρχε. Πολλῷ γὰρ αἱρετώτερον ἦν αὐτῷ ἐν σκότῳ διάγειν, καὶ τοὺς ὀφθαλμοὺς ἐκκεκόφθαι, καὶ τοῦ φωτὸς ἀπεστερῆσθαι, ἢ μὴ εἰδέναι τί μὲν καλὸν, τί δὲ πονηρόν. Ἐὰν γὰρ τοῦτο ἀνέλης τῆς ζωῆς τῆς ἡμετέρας, πᾶσαν τὴν ζωὴν ἡμῶν ἀνεῖλες, καὶ πολλῆς συγχύσεως τὰ πάντα ἐνέπλησας. Τοῦτο γάρ ἐστιν, ᾧ τῶν ἀλόγων διαφέρομεν, καὶ ᾧ τῶν θηρίων ἀμείνους ἐσμὲν, τῷ κακίαν καὶ ἀρετὴν εἰδέναι, καὶ

Universidad Pontificia de Salamanca

que le convienen, acerca de las coronas reservadas en los cielos, de vidas ilustres, de la benevolencia de Dios, de la previsión en todo[279], y acerca de otras cosas que sobre todo nos interesan: por qué hemos nacido, qué suerte correremos después de este viaje y en qué estarán entonces nuestras cosas[280].

No sólo nosotros, sino también los profetas y los apóstoles participan de esta reunión, y lo mejor de todo, Jesús, el Señor mismo de todas las cosas, ha ocupado el lugar central entre nosotros. Él mismo, en efecto, dice: *En donde están dos o tres reunidos en mi nombre, allí estoy yo en medio de ellos*[281]. Y si donde están dos o tres reunidos, Él está en medio de ellos, allí donde estén hombres tales, mujeres semejantes, esos padres, apóstoles y profetas, con mayor motivo Él estará en medio de éstos.

*Si Adán tuvo conocimiento del bien y del mal. Quiénes ignoran el bien y el mal*[282]

De ahí que nosotros, aprovechando la ocasión, hablemos de ello con muchísimo gusto y cumplamos[283] nuestra promesa[284].

Prometimos hablar primero del árbol, si de él procedía el conocimiento del bien y del mal de Adán, o si tenía dicho conocimiento antes de haber comido del árbol[285]. Arriesgadamente[286] podríamos decir ahora que tenía ese conocimiento antes de haber comido de él. Efectivamente, si no hubiera sabido qué era el bien y qué el mal, habría sido más irracional que los mismos animales, y más necio señor de los esclavos.

¿No sería absurdo[287], acaso, que cabras y ovejas supieran qué hierba les es beneficiosa y cuál perjudicial, y que no sucede lo mismo con todas las plantas con las que se topan, sino que las conocen y saben claramente qué les perjudica y qué les beneficia y, en cambio, el hombre careciera de esa certeza? En efecto, si no la tuviera, no sería digno de nada, pero, sobre todo, sería el más vulgar de todos. **[606]** Pues era con mucho más preferible para él permanecer en tinieblas, haber perdido los ojos y verse privado de la luz que no saber qué era el bien y qué el mal.

Si eliminaste esa capacidad de discernimiento de nuestra vida, destruiste toda nuestra vida[288] y lo llenaste todo de una gran confusión. Por eso somos diferentes a los animales y mejores que las bes-

Universidad Pontificia de Salamanca

τῷ ἐπιγινώσκειν τὸ πονηρὸν, καὶ τὸ καλὸν μὴ ἀγνοεῖν. Εἰ δὲ ἡμεῖς τοῦτο ἴσμεν νῦν, οὐχ ἡμεῖς δὲ μόνον, ἀλλὰ καὶ Σκύθαι καὶ βάρβαροι, πολλῷ μᾶλλον ὁ ἄνθρωπος τότε ἐκεῖνος πρὸ τῆς ἁμαρτίας τοῦτο ἐγνώκει· καὶ οὐκ ἂν ὁ τοσαύταις τιμηθεὶς τιμαῖς, οἷον τῷ κατ' εἰκόνα, τῷ καθ' ὁμοίωσιν, καὶ ταῖς λοιπαῖς εὐλογίαις, τοῦ κεφαλαίου τῶν ἀγαθῶν ἔρημος ἔμεινε. Τὸ γὰρ καλὸν καὶ πονηρὸν ἐκεῖνοι μόνοι ἀγνοοῦσιν, ὅσοι τῶν κατὰ φύσιν εἰσὶν ἀπεστερημένοι φρενῶν· ὁ δὲ Ἀδὰμ σοφίας πολλῆς ἐπεπλήρωτο, καὶ διαγνωστικὸς ἑκατέρων τούτων ἦν. Καὶ ὅτι σοφίας ἐπεπλήρωτο πνευματικῆς, ἄκουσον αὐτῆς τὴν ἀπόδειξιν. Ἤγαγε, φησὶ, πρὸς αὐτὸν ὁ Θεὸς τὰ θηρία, ἰδεῖν τί καλέσει αὐτά· καὶ εἴ τι ἐκάλεσεν αὐτὰ Ἀδὰμ, τοῦτο τὸ ὄνομα αὐτοῖς. Ἐννόησον τοίνυν πόσης ἐπέπληστο σοφίας, τοσούτοις γένεσιν, οὕτω ποικίλοις, καὶ παντοδαποῖς, τοῖς τῶν κτηνῶν, τοῖς τῶν ἑρπετῶν, τοῖς τῶν πτηνῶν προσηγορίας ἐπιθεῖναι, καὶ πάσας κυρίας, δυνηθείς. Οὕτω γὰρ ἀπεδέξατο τὴν θέσιν τῶν ὀνομάτων ὁ Θεὸς, ὡς μηκέτι κινῆσαι τὰς προσηγορίας ἐκείνας, μηδὲ ἁμαρτόντος αὐτοῦ θελῆσαι ἀνελεῖν τὰς ἐπωνυμίας αὐτῶν. Πᾶν γὰρ, φησὶν, ὃ ἐκάλεσεν αὐτὰ Ἀδὰμ, τοῦτο ὄνομα αὐτοῖς.

β'. Οὗτος γοῦν ἠγνόει τί μὲν καλὸν, τί δὲ πονηρόν; Καὶ πῶς ἂν ἔχοι λόγον; Πάλιν ἤγαγε τὴν γυναῖκα πρὸς αὐτὸν, καὶ ἰδὼν αὐτὴν εὐθέως ἐπέγνω τὴν τῆς φύσεως κοινωνόν. Καὶ τί φησι; Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου. Ἐπειδὴ γὰρ πρὸ βραχέος ἦν ὁ Θεὸς παραγαγὼν αὐτῷ τὰ ζῷα ἅπαντα, δεῖξαι βουλόμενος ὁ Ἀδὰμ, ὅτι τοῦτο τὸ ζῷον οὐχὶ ἓν ἐκείνων τῶν ζώων ἐστὶν, εἶπε· Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου. Τινὲς δὲ, ὅτι οὐχὶ τοῦτο μόνον αἰνίττεται, φασὶν, ἀλλὰ καὶ τὸν τρόπον τῆς δημιουργίας, καὶ ὅτι οὐκ ἔσται πάλιν τῇ γυναικὶ τοιοῦτος τῆς γενέσεως ὁ τρόπος, διὰ τοῦτο εἶπε· Τοῦτο νῦν· ὅπερ οὖν καὶ ἕτερος ἑρμηνευτὴς ἀκριβέστερον ἑρμηνεύων ἔλεγε, Τοῦτο ἅπαξ, ὡσανεὶ ἔλεγε, Νῦν μόνον γυνὴ γέγονεν ἐξ ἀνδρὸς μόνου· μετὰ δὲ ταῦτα οὐκέτι οὕτως ἔσται, ἀλλ' ἐξ ἀμφοτέρων· Ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου. Ἐξ ὁλοκλήρου γὰρ τοῦ φυράματος ὁ Θεὸς λαβὼν κόμμα, οὕτω τὴν γυναῖκα ἔπλασεν, ἵνα κατὰ πάντα κοινωνῇ τῷ ἀνδρί. Αὕτη, φησὶ, κληθή-

Universidad Pontificia de Salamanca

tias, por conocer el vicio y la virtud, por reconocer el mal y no ignorar[289] el bien. Si lo sabemos ahora, pero no sólo nosotros, sino también los Escitas y los bárbaros, mucho más lo supo aquel hombre antes de cometer el pecado: no habría permanecido privado del más importante de los bienes quien fue honrado con tantos honores[290] y con las demás bendiciones, como el que fue creado a imagen y semejanza de Él.

Sólo ignoran el bien y el mal cuantos por naturaleza han sido privados de entendimiento. Adán, en cambio, estaba dotado de una gran sabiduría y tenía la facultad de discernir ambas cosas. Y puesto que[291] estaba dotado de una sabiduría espiritual, escucha la prueba de ello: *Llevó Dios* —dice— *ante el hombre a las bestias para ver cómo las llamaba; y si Adán las llamó de alguna forma, ése es su nombre*[292]. Por lo tanto, considera de cuánta sabiduría gozaba, ya que pudo denominar con autoridad a tantas especies tan variadas y distintas de bestias, de reptiles, de aves.

De tal manera, Dios aceptó esa denominación de suerte que esos nombres no cambiaran; incluso, después de haber pecado, no quiso anularlos. Dice, en efecto, *Todo lo que Adán nombró, ése es su nombre*[293].

2. Así pues, ¿ignoraba éste qué era el bien, qué el mal? ¿Qué lógica tendría? Condujo a su vez a la mujer hacia él y, al verla, enseguida la reconoció como compañera de su naturaleza. ¿Qué dice entonces? *Esto es ahora hueso de mis huesos y carne de mi carne*[294]. Ya que poco antes Dios le había llevado todos los seres vivos, deseoso Adán de mostrar que éste no pertenecía a ese género, dijo: *Esto es ahora hueso de mis huesos y carne de mi carne.*

Algunos opinan que no quiere decir sólo eso, sino que se refiere también al modo de la creación y a que no volverá a ser así para la mujer, por lo que dice *«Esto es ahora»,* hecho que otro intérprete expresa[295] con más exactitud al decir *«Esto una sola vez»*[296], como si dijera «sólo ahora la mujer ha nacido de un hombre solo, después ya no será nunca más así, ya que nacerá de ambos»: *Hueso de mis huesos y carne de mi carne*[297].

Pues tomó Dios una parte de barro y modeló a la mujer, para que tuviera todo en común con el hombre. *Ésta* —dice— *será lla-*

Universidad Pontificia de Salamanca

σεται γυνὴ, ὅτι ἐκ τοῦ ἀνδρὸς ἐλήφθη. Ὁρᾷς πῶς καὶ τὴν προσηγορίαν διὰ τοῦτο ἐπιτίθησιν, ἵνα ἡ προσηγορία διδάσκῃ τὴν κοινωνίαν τῆς φύσεως, καὶ ἡ διδασκαλία τῆς κατὰ τὴν φύσιν κοινωνίας, καὶ ὁ τῆς δημιουργίας τρόπος ὑπόθεσις ἀγάπης ᾖ διηνεκοῦς, καὶ σύνδεσμος **[607]** ὁμονοίας; Εἶτα τί φησιν; Ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ, καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ. Οὐκ εἶπεν ἁπλῶς, ἑνωθήσεται, ἀλλὰ, Κολληθήσεται, τὴν ἀκριβῆ συνάφειαν δηλῶν· Καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. Ὁ τοσαῦτα οὖν εἰδὼς, εἰπέ μοι, οὐκ ᾔδει τί μὲν καλὸν, τί δὲ πονηρόν; Καὶ πῶς ἂν ἔχοι λόγον; Εἰ γὰρ μὴ ᾔδει τί μὲν καλὸν, τί δὲ πονηρὸν πρὸ τοῦ φαγεῖν ἀπὸ τοῦ ξύλου, ἀλλὰ μετὰ τὴν βρῶσιν ἔμαθεν, ἡ ἁμαρτία γέγονεν αὐτῷ σοφίας διδάσκαλος, καὶ ὁ ὄφις οὐκέτι ἀπατεὼν, ἀλλὰ σύμβουλος τῶν συμφερόντων κατέστη, ἐκ θηρίου ποιήσας αὐτὸν ἄνθρωπον. Ἀλλὰ μὴ γένοιτο· οὐκ ἔστι ταῦτα οὕτως, οὐκ ἔστιν. Εἰ γὰρ μὴ ᾔδει τί μὲν καλὸν, τί δὲ πονηρὸν, πῶς καὶ τὴν ἐντολὴν ἐλάμβανεν; Οὐδεὶς γὰρ δίδωσι νόμον τῷ μὴ εἰδότι, ὅτι κακὸν ἡ παράβασις· ὁ δὲ Θεὸς καὶ ἔδωκε, καὶ παραβάντα ἐκόλασεν, οὐκ ἂν ἀμφότερα ταῦτα ποιήσας, εἰ μὴ γνωστικὸν αὐτὸν ἐξ ἀρχῆς ἐποίησεν ἀρετῆς καὶ κακίας. Ὁρᾷς πῶς πάντοθεν ἡμῖν ἀποδέδεικται, ὅτι οὐ μετὰ τὴν βρῶσιν τοῦ ξύλου τὸ καλὸν ᾔδει καὶ τὸ πονηρὸν, ἀλλὰ καὶ πρὸ τούτου ἠπίστατο;

Ταῦτα οὖν ἅπαντα, ἀγαπητοὶ, διακρατῶμεν, καὶ οἴκαδε ἀναχωρήσαντες διπλῆν παραθῶμεν τὴν τράπεζαν, τὴν τῶν σιτίων, καὶ τὴν τῆς ἀκροάσεως, καὶ λεγέτω μὲν ἀνὴρ τὰ εἰρημένα, μανθανέτω δὲ γυνὴ, ἀκουέτω δὲ καὶ παιδία, μὴ ἀποστερείσθωσαν δὲ μηδὲ οἰκέται τῆς ἀκροάσεως ταύτης. Ἐκκλησίαν ποίησόν σου τὴν οἰκίαν· καὶ γὰρ καὶ ὑπεύθυνος εἶ καὶ τῆς τῶν παιδίων καὶ τῆς τῶν οἰκετῶν σωτηρίας· καὶ καθάπερ ἡμεῖς ὑπὲρ ὑμῶν ἀπαιτούμεθα λόγον. οὕτω καὶ ἕκαστος ὑμῶν καὶ ὑπὲρ οἰκέτου, καὶ ὑπὲρ γυναικὸς, καὶ ὑπὲρ παιδὸς ἀπαιτεῖται εὐθύνας. Ἀπὸ γοῦν τῶν τοιούτων διηγημάτων ἥδιστα διαδέξεται ἡμᾶς τὰ ὀνείρατα, καὶ φαντασίας ἀπηλλαγμένα ἁπάσης· οἷα γὰρ μεθ' ἡμέραν ἡ ψυχὴ μελετᾷν εἴωθε, τοιαῦτα καὶ καθ' ὕπνους φαντάζεται. Καὶ ἐὰν τὰ καθ' ἑκάστην ἡμέραν φυλάττωμεν λεγόμενα, οὐ πολλοῦ δεηθησόμεθα πόνου· καὶ γὰρ σαφέστερος ὁ μετὰ ταῦτα λόγος ὑμῖν

Universidad Pontificia de Salamanca

*mada mujer porque fue tomada del hombre*[298]. ¿Ves cómo también el nombre se pone por esto, para que la denominación muestre la comunión de la naturaleza, la enseñanza de la comunión sea según la naturaleza y el modo de la creación sea el fundamento de un amor continuo y lazo **[607]** de unión? ¿Qué dice a continuación? *Por esto dejará el hombre a su padre y a su madre y se unirá a su mujer*[299]. No dijo simplemente «se juntará», sino *se unirá,* señalando así la unión perfecta. *Y serán los dos en una sola carne*[300].

Por consiguiente, el que sabía estas cosas, dime, ¿no sabía qué era el bien y qué el mal? ¿Cómo podría ser lógico? Pues si no sabía qué era el bien y el mal antes de haber comido del árbol, sino que lo supo después, el pecado lo convirtió en maestro de sabiduría y la serpiente se erigió, ya no en engañadora, sino en consejera de lo útil haciendo derivar al hombre mismo de un animal. Mas, ¡ojalá no sea así! No es así, no es. Si no sabía qué era el bien y qué el mal, ¿cómo entendió el mandato? Nadie da una ley al que desconoce que la transgresión es un mal[301]. Dios, sin embargo, se la dio y castigó al transgresor, y no habría hecho ninguna de estas dos cosas si no lo hubiera hecho conocedor de la virtud y del mal desde el principio. ¿Ves cómo nos ha demostrado que no conocía el bien y el mal después de haber comido del árbol, sino que lo conocía antes?

### *Epílogo del sermón*[302]

Por lo tanto, amados, retengamos todo esto y, una vez nos retiremos a casa, dispongamos una doble mesa, una de alimentos y otra de atención a cuanto se diga, y que el hombre refiera lo dicho, que la mujer aprenda, que los hijos escuchen y que los esclavos no sean privados de esa lección[303]. Haz de tu casa una asamblea. Eres, en efecto, el responsable de la salvación de tus hijos y de la de tus esclavos, y así como nosotros reclamamos una razón por vosotros, de la misma manera cada uno de vosotros pide cuentas por su esclavo, por su mujer y por su hijo. Después de estas explicaciones, nos aguardarán sueños dulcísimos y puros[304]: pues el alma acostumbra a ocuparse de día de tantas cosas cuantas en sueños hace visibles. Y si conservamos lo dicho a diario, no necesitaremos mucho esfuerzo, ya que después el sermón os resultará más claro y la enseñanza más agradable.

Universidad Pontificia de Salamanca

ἔσται, καὶ ἡμῖν προθυμοτέρα ἡ διδασκαλία. Ἵν' οὖν γένηταί τι πλέον καὶ ἡμῖν καὶ ὑμῖν, ἡμῖν μὲν ἀπὸ τῆς διδασκαλίας, ὑμῖν δὲ ἀπὸ τῆς ἀκροάσεως, μετὰ τῆς σωματικῆς τραπέζης καὶ ἡ τράπεζα ὑμῖν παρατιθέσθω ἡ πνευματική. Καὶ γὰρ ἀσφάλεια καὶ κόσμος ἐκεῖνα ὑμῖν γενήσεται, καὶ τὰ τῆς παρούσης ζωῆς πρὸς τὸ συμφέρον ὁ Θεὸς κατευθυνεῖ, καὶ ῥᾷστα ὑμῖν ἔσται πάντα καὶ εὔκολα. Ζητεῖτε γάρ, φησὶ, πρῶτον τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ πάντα ταῦτα προστεθήσεται ὑμῖν. Ζητῶμεν οὖν ταύτην, ἀγαπητοὶ, ἵνα καὶ τῶν ἐνταῦθα καὶ τῶν ἐκεῖ ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ δόξα τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Universidad Pontificia de Salamanca

Así pues, para que sea mejor para nosotros y para vosotros: para nosotros por la enseñanza, para vosotros por la audición de ésta. Después de la mesa dispuesta para el cuerpo, prepárese también para vosotros la mesa dirigida a lo espiritual. Será para vosotros seguridad y orden, Dios dirigirá los asuntos de la vida presente según convenga, y todo os será fácil y cómodo. *En efecto buscad,* —dice—, *primero el reino de los cielos y todo eso se os dará por añadidura*[305].

Por consiguiente, busquémoslo, amados, para alcanzar los bienes de aquí y de allí[306], con la gracia y benevolencia de nuestro Señor Jesucristo, por quien y con quien sea la gloria para el Padre y el Espíritu Santo, ahora y siempre, por los siglos de los siglos. Amén.

Universidad Pontificia de Salamanca

## ΛΟΓΟΣ Ζ'.

Διὰ τί ξύλον γνωστὸν καλοῦ καὶ πονηροῦ καλεῖται τὸ ξύλον, καὶ τί ποτέ ἐστι, Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ.

α'. Πολλὰ παρεκάλεσα χθὲς τὴν ὑμετέραν ἀγάπην μεμνῆσθαι τῶν εἰρημένων, καὶ διπλῆν ἐν ἑσπέρᾳ παραθεῖ-**[608]**ναι τὴν τράπεζαν, τὴν τῶν βρωμάτων, καὶ τὴν ἀπὸ τῶν λόγων προστιθέντας ἑστίασιν. Τί οὖν; ἐποιήσατε τοῦτο, καὶ παρεθήκατε διπλῆν τὴν τράπεζαν; Οἶδα ὅτι ἐποιήσατε, καὶ οὐκ ἐκείνης μόνον, ἀλλὰ καὶ ταύτης μετέσχετε. Οὐ γὰρ δὴ περὶ τὴν ἐλάττω σπουδάσαντες, τῆς βελτίονος ἐμέλλετε ἀμελεῖν. Καὶ γὰρ βελτίων ἐκείνης αὕτη. Τὴν μὲν γὰρ μαγείρων συνέθηκαν χεῖρες, ταύτην δὲ προφητῶν παρεσκεύασαν γλῶσσαι· καὶ ἡ μὲν τὰ ἀπὸ τῆς γῆς ἔχει βλαστήματα, ἡ δὲ τὸν καρπὸν τὸν ἀπὸ τοῦ Πνεύματος· καὶ ταύτης μὲν τῆς τραπέζης πρὸς φθορὰν ἐπείγεται τὰ σιτία, τὰ δὲ ἐκείνης πρὸς ἀφθαρσίαν· καὶ αὕτη μὲν τὴν παροῦσαν ἡμῶν συγκρατεῖ ζωήν, ἐκείνη δὲ πρὸς τὴν μέλλουσαν ἡμᾶς ὁδηγεῖ. Ὅτι μὲν οὖν παρεθήκατε μετ' ἐκείνης καὶ ταύτην, οἶδα, οὐκ ἀκόλουθον ὑμῶν ἐρωτήσας, οὐκ οἰκέτην, ἀλλὰ τὸν τούτων σαφέστερον ἄγγελον. Τίνα δὴ τοῦτον; Τὸν κρότον τῶν εἰρημένων, τὸν ἔπαινον τὸν ἐπὶ τῇ διδασκαλίᾳ. Ἐπειδὴ γὰρ εἶπον χθές, ὅτι Ἕκαστος ὑμῶν ποιησάτω τὴν οἰκίαν αὐτοῦ ἐκκλησίαν, μέγα ἀνακεκράγατε, δηλοῦντες τὴν ἡδονὴν τὴν ἐπὶ τοῖς εἰρημένοις. Ὁ δὲ μεθ' ἡδονῆς ἀκούων τῶν λεγομένων, οὗτος καὶ πρὸς τὴν τῶν ἔργων ἐπίδειξιν παρεσκεύασται. Διὰ ταῦτα καὶ τήμερον προθυμότερον ἀπεδυσάμην πρὸς τὴν διδασκαλίαν.

Ἀλλὰ διεγέρθητε καὶ νῦν. Οὐδὲ γὰρ τὸν λέγοντα διεγηγερμένον εἶναι χρὴ μόνον, ἀλλὰ καὶ τοὺς ἀκούοντας ἐναγωνίους εἶναι χρή, καὶ τοὺς ἀκούοντας μᾶλλον, ἢ τὸν λέγοντα. Ἡμεῖς μὲν γὰρ μίαν ἔχομεν σπουδήν, καταβαλεῖν τὰ δεσποτικὰ χρήματα· ὑμῖν δὲ πλείων ὁ πόνος, ὥστε καὶ

Universidad Pontificia de Salamanca

## SERMÓN SÉPTIMO [307]

*Por qué es llamado el árbol de la ciencia del bien y del mal; y qué significa «Hoy estarás conmigo en el Paraíso»* [308].

*1.* Recientemente invoqué vuestra caridad para que recordarais lo dicho y al atardecer sirvierais una doble **[608]** mesa, compaginando la de los alimentos y la de las palabras [309]. Por lo tanto ¿qué?, ¿lo hicisteis y servisteis la doble mesa? Sé que lo hicisteis y que participasteis no sólo de aquélla, sino también de ésta, ya que si os esforzasteis por la de menor relevancia, no ibais a descuidar la que más importancia tenía.

Efectivamente, ésta es mejor que aquélla: pues las manos de los cocineros dispusieron aquélla, y a ésta, en cambio, la prepararon las voces de los profetas; aquélla tiene los frutos de la tierra, ésta, en cambio, el fruto del Espíritu; los alimentos de esa mesa son rápidamente corruptibles, en cambio los de ésta, incorruptibles. Y ésa, por último, gobierna nuestra vida presente, ésta, sin embargo nos prepara el camino hacia la vida futura [310].

Así pues, sé que preparasteis con aquélla también ésta porque interrogué, no a vuestro acompañante ni a vuestro servidor, sino a un mensajero más digno de confianza que éstos. Pero, ¿de quién se trata? Del aplauso que suscitó lo que se dijo y de la alabanza que se hizo de la enseñanza. Después de que recientemente dijera «Que cada uno de vosotros haga una asamblea de su casa [311]», aclamasteis en gran manera, demostrando complacencia por lo dicho. Además, el que escucha con agrado lo que se dice está también en buena disposición para demostrarlo con obras. Por esto también, hoy me preparé muy animosamente para la enseñanza.

*Qué grande es la obligación de convertir la palabra divina en obra* [312]

Despertad ahora, pues no conviene que esté despierto sólo el que habla, sino que es necesario que también estén atentos los que escuchan, y más los que escuchan que el que habla.

Nosotros, ciertamente, tenemos un sólo afán, divulgar las riquezas del Señor; sin embargo, vuestro esfuerzo es mayor, de modo que

Universidad Pontificia de Salamanca

ὑποδέξασθαι αὐτὰ, καὶ μετὰ πολλῆς τηρῆσαι τῆς ἀσφαλείας. Ἐπίθετε τοίνυν μετὰ τὴν ἀκρόασιν τὰ κλεῖθρα ταῖς θύραις. τοὺς μοχλούς· καὶ λογισμοὺς τοὺς φοβεροὺς, καθάπερ τινὰς φύλακας, πανταχόθεν περιστήσατε τῇ ψυχῇ. Καὶ γὰρ ἀναίσχυντος ὁ κλέπτης ἐστὶ, καὶ διαπαντὸς ἀγρυπνεῖ, καὶ συνεχῶς ἐπιτίθεται, κἂν πολλάκις ἀποτύχῃ, πολλάκις ἐπιχειρεῖ. Ἔστωσαν τοίνυν φοβεροὶ οἱ φύλακες· κἂν ἴδωσι τὸν διάβολον ἐλθόντα καὶ βουλόμενον ἁρπάσαι τι τῶν καταβληθέντων, μετὰ πολλῆς αὐτὸν ἀπελαυνέτωσαν τῆς κραυγῆς· κἂν φροντίδες βιωτικαὶ ἐπίωσι, κωλυέτωσαν· κἂν λήθη παρὰ τῆς φύσεως διενοχλῇ, τῇ μελέτῃ τὴν μνήμην διεγειρέτωσαν. Οὐ γάρ ἐστι μικρὸς ὁ κίνδυνος, ἀπολέσαι χρήματα δεσποτικά. Εἰ γὰρ οἱ ταῦτα τὰ χρήματα ὑποδεχόμενοι, ἐπειδὰν διασκορπίσωσι τὰ πιστευθέντα, θανάτῳ κολάζονται πολλάκις· οἱ τὰ πολλῷ τιμιώτερα τούτων ὑποδεξάμενοι λόγια, εἶτα ἀπολέσαντες, ποίαν οὐχ ὑποστήσονται τιμωρίαν, Ἐπὶ μὲν τούτων τῶν χρημάτων φυλακῆς εἰσιν ὑπεύθυνοι μόνον οἱ δεχόμενοι, ἑτέρου δὲ οὐδενός. Ὅσα γὰρ ὑπεδέξαντο, τοσαῦτα αὐτοὺς καταθεῖναι πᾶσα ἀνάγκη, καὶ πλέον οὐδεὶς οὐδὲν ἀπαιτεῖται παρ' αὐτῶν· ἐπὶ δὲ τῶν τοῦ Θεοῦ λόγων οὐχὶ φυλακῆς ἐσμεν ὑπεύθυνοι μόνον, ἀλλὰ καὶ ἐργασίας πολλῆς. Οὐδὲ γὰρ ἅπερ ἐδεξάμεθα μόνον ἀποδοῦναι κελευόμεθα, ἀλλὰ καὶ διπλᾶ ταῦτα τῷ Δεσπότῃ προσενεγκεῖν. Καίτοι εἰ καὶ φυλάξαι προέκειτο μόνον, πολλῆς ἀγωνίας καὶ σπουδῆς **[609]** ἐδεῖτο τὸ πρᾶγμα· ὅταν δὲ καὶ πλεονάσαι αὐτὰ προστάττῃ ἡμῖν ὁ Δεσπότης, ἐννόησον ὅσου πόνου καὶ φροντίδος ἡμῖν δεῖ τοῖς πιστευθεῖσι. Διά τοι τοῦτο πιστευθείς τις πέντε τάλαντα, οὐχ ὅσα ἐνεπιστεύθη προσήνεγκεν, ἀλλὰ καὶ ἕτερα τοσαῦτα. Ἐκεῖνα μὲν γὰρ τῆς τοῦ δεσπότου φιλανθρωπίας ἦν· ἔδει δὲ καὶ τὸν οἰκέτην τὴν ἑαυτοῦ σπουδὴν ἐπιδείξασθαι. Ὁμοίως καὶ ὁ τὰ δύο τάλαντα πιστευθεὶς εἰργάσατο ἄλλα δύο, καὶ τούτου ἕνεκα ἠξιώθη τῆς αὐτῆς τιμῆς παρὰ τοῦ ἰδίου δεσπότου. Ἄλλος δέ τις πάλιν ἓν τάλαντον πιστευθεὶς καὶ προσενεγκὼν αὐτὸ ὅπερ ἐπιστεύθη, οὐ μειώσας, οὐκ ἐλαττώσας τὴν παρακαταθήκην, οὐκ ἐξ ἡμισείας ἀποδοὺς, ἐπειδὴ μὴ τὴν πραγματείαν ἀπεδείξατο, μηδὲ διπλοῦν προσήνεγκε τὸ πιστευθὲν, τὴν ἐσχάτην ἔδωκε δίκην· καὶ μάλα εἰκότως.

Universidad Pontificia de Salamanca

no sólo las recibáis, sino también las custodiéis con mucha firmeza. Por lo tanto, después de haber escuchado, echad los cerrojos a las puertas, echad las trancas, y, lo mismo que los guardianes, cercad el alma contra los terribles pensamientos.

Pues en efecto, el ladrón es desvergonzado y acecha continuamente, y ataca sin interrupción, y, aunque a menudo falle, lo intenta una y otra vez[313]. Consiguientemente, permanezcan firmes los temibles guardianes y, aunque vean venir al diablo deseoso de arrebatar algo de lo que fue establecido, expúlsenle con gran griterío; aunque sobrevengan las preocupaciones mundanas, apártenlas; aunque[314] el olvido propio de la naturaleza[315] inoportune, estimulen la memoria con el ejercicio. Pues no es un riesgo pequeño perder los bienes del Señor. Si los que reciben estos bienes son frecuentemente castigados con la muerte cuando derrochan lo que les ha sido confiado, éstos, que recibieron los preceptos divinos mucho más honrosos que ésos, después de destruirlos, ¿qué castigo no merecerán? Los que los reciben son sólo responsables de la vigilancia de esos bienes y de ninguna otra cosa. Pues es necesario que depositen tanto como recibieron, y nadie les reclama nada más.

Nosotros, por otro lado, somos responsables no sólo de la vigilancia de las revelaciones de Dios, sino también de su rendimiento. Pues no sólo somos mandados a devolver cuanto recibimos, sino también a ofrecerlo al Señor por duplicado. Si cuando sólo estaba prescrito custodiarlo[316], el asunto precisaba una gran lucha y empeño, **[609]** cuando además el Señor nos ordena aumentarlo, imagina cuánto esfuerzo y preocupación nos es necesario a quienes esto nos fue confiado.

Por esto, a quien le fueron confiados cinco talentos[317], no sólo devolvió cuanto le fue confiado, sino otro tanto[318]. Pues ciertamente aquellos procedían de la benignidad del amo, pero además era necesario que el esclavo mostrara su diligencia. De igual modo también éste, a quien fueron confiados dos talentos, otros dos ganó y por esto le sobrevino el honor de su propio amo.

Pero por el contrario, otro, a quien fue entregado un talento y presentó éste, el que precisamente se le dio, sin haber disminuido el depósito, sin haberlo aminorado, sin haber devuelto la mitad, pagó la pena más dura puesto que no demostró el esfuerzo ni presentó duplicado lo que le fue entregado; y con mucha razón. Pues si sólo hubie-

Universidad Pontificia de Salamanca

Εἰ γὰρ ἐβουλόμην, φησὶν, αὐτὰ φυλάττεσθαι μόνον, καὶ ἄλλην μὴ γενέσθαι ἐμπορίαν ἐν αὐτοῖς, οὐκ ἂν αὐτὰ ταῖς τῶν δούλων ἔδωκα χερσί. Σὺ δέ μοι θέα τὴν φιλανθρωπίαν τοῦ δεσπότου. Προσήνεγκεν ὁ τὰ πέντε τάλαντα πιστευθεὶς ἄλλα πέντε, καὶ ὁ τὰ δύο, ἄλλα τοσαῦτα· καὶ τῶν αὐτῶν ἑκάτερος ἀπήλαυσεν ἀμοιβῶν. Ὥσπερ γὰρ ἐκείνῳ εἶπεν· Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστὲ, ἐπὶ ὀλίγα ἧς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω· οὕτω καὶ τῷ τὰ δύο προσενεγκόντι φησὶν, Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστὲ, ἐπὶ ὀλίγα ἧς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω. Ἡ πρόσοδος οὐχ ἡ αὐτὴ, καὶ ὁ μισθὸς ὁ αὐτός· οὕτω καὶ τοῦτον τῆς αὐτῆς ἠξίωσε τιμῆς. Τί δήποτε; Ὅτι οὐ τῇ ποσότητι τῶν προσενεχθέντων, ἀλλὰ τῇ δυνάμει τῶν ἐργαζομένων προσεῖχεν ὁ Θεός. Ἐκείνων μὲν γὰρ ἕκαστος τὰ κατὰ δύναμιν ἐπεδείξατο· τὸν πλεονασμὸν δὲ τῶν προσενεχθέντων καὶ τὴν ἐλάττωσιν οὐχ ἡ ῥᾳθυμία ἐκείνου, οὐδὲ ἡ σπουδὴ τούτου, ἀλλ' ἡ διαφορὰ τῆς παρακαταθήκης ἐποίησεν. Ἐκεῖνος πέντε ἔλαβε, καὶ πέντε ἄλλα προσήνεγκεν· οὗτος δύο ἔλαβε, καὶ δύο προσήνεγκε, καὶ κατ' οὐδὲν ἠλάττωται ἐν τῷ τῆς σπουδῆς λόγῳ. Καὶ γὰρ καὶ οὗτος διπλᾶ, κἀκεῖνος διπλᾶ τὰ πιστευθέντα εἰργάσατο· ὁ δὲ ἓν λαβὼν ἁπλοῦν προσήνεγκε· διὸ καὶ ἐκολάζετο.

β'. Ἠκούσατε τοίνυν πόση τιμωρία κεῖται τοῖς μὴ πραγματευομένοις περὶ τὰ χρήματα τὰ δεσποτικά; Οὐκοῦν καὶ φυλάξωμεν, καὶ πραγματευσώμεθα, καὶ πολλὴν ἐπιδειξώμεθα περὶ αὐτὰ τὴν ἐμπορίαν. Μὴ λεγέτω τις· Ἰδιώτης εἰμὶ, μαθητής εἰμι, λόγον οὐκ ἔχω διδασκαλίας, ἀμαθὴς ὢν καὶ οὐδενὸς ἄξιος. Κἂν γὰρ ἰδιώτης ἧς, κἂν ἀμαθὴς, κἂν ἓν τάλαντον πιστευθῇς, ἐργάζου τὸ ἐγχειρισθὲν, καὶ τὸν αὐτὸν τῷ διδάσκοντι λήψῃ μισθόν. Ἀλλ' ὅτι μὲν φυλάττετε τὰ εἰρημένα, καὶ μετὰ πολλῆς τῆς ἀκριβείας κατέχετε, πάνυ πεπίστευκα· ἵνα δὲ μὴ εἰς τοῦτο τὸν λόγον ἅπαντα ἀναλώσωμεν, φέρε καὶ τὰ ἑξῆς τῶν χθὲς ἡμῖν λεχθέντων προσθῶμεν ἐπὶ τῆς ὑμετέρας ἀγάπης, τοῦτον τῆς φυλακῆς ὑμῖν ἀποδιδόντες τὸν μισθόν. Ὁ γὰρ τὰ πρότερα πιστευθεὶς καὶ τηρήσας, ἄξιος ἂν εἴη καὶ ἕτερα πάλιν λαβεῖν. Τί οὖν ἦν τὸ διήγημα τὸ χθὲς ἡμῖν προτεθέν; Περὶ τοῦ ξύλου ὁ λόγος ἦν, καὶ ἐδείξαμεν ὅτι ᾔδει ὁ ἄνθρωπος τὸ καλὸν καὶ τὸ πονηρὸν, πρὶν ἢ φαγεῖν ἀπὸ τοῦ ξύλου, καὶ πολλῆς σοφίας ἐπεπλήρω-

Universidad Pontificia de Salamanca

ra querido que los guardara, —dice—, y no recobrar otra ganancia de éstos, no los habría confiado en manos de los esclavos.

Sin embargo, tú considera la bondad del amo. Al que fueron confiados cinco talentos, presentó otros cinco y el que recibió dos, otros tantos. Y cada uno de éstos recibió la misma recompensa. Pues, de la misma manera que dijo a aquél: *Bien, esclavo bueno y fiel; fuiste fiel en poco, te pondré al frente de mucho* [319], así también, al que dio dos, dice: *Bien, esclavo bueno y fiel, fuiste fiel en poco, te pondré al frente de mucho* [320].

La ganancia no es la misma, pero sí la recompensa, de forma que así hizo digno a éste del mismo honor. En fin, ¿por qué? Porque Dios atendía no a la cantidad de lo entregado, sino a la capacidad de los que trabajan [321], pues cada uno de ellos lo mostró según su capacidad: la abundancia y la escasez de lo producido no lo determinó la negligencia de aquél, ni la diligencia de éste, sino la diferencia del depósito confiado. Aquél recibió cinco y presentó otros cinco; éste recibió dos y otros dos ofreció, y no por ello la diligencia mostrada es menor. Efectivamente, tanto éste como aquél procuraron el doble de lo confiado. El que recibió uno, en cambio, uno ofreció, y por esto fue castigado.

*2.* ¿Oísteis cuán grande es el castigo que inflige a los que no negocian con los bienes del amo? Por consiguiente, no sólo guardémoslos, sino también trabajemos y obtengamos mucha ganancia con ellos. Que nadie diga: «Soy un ignorante, soy un discípulo, no tengo don para la enseñanza, pues soy inexperto y no merezco nada». Pues ya seas un ignorante, ya seas un discípulo, ya se te haya confiado un sólo talento, ocúpate de lo recibido y obtendrás la misma recompensa del maestro.

Sin embargo creo que guardáis lo dicho y lo retenéis con mucho rigor; mas, para que no consumamos todo el discurso en esto, ¡ea!, añadamos también a continuación lo que fue dicho ayer por nosotros acerca de vuestra caridad, pagándoos esta recompensa por la custodia. Pues el que habiendo recibido en depósito unas primeras cosas las hubiera conservado, sería también digno de recibir de nuevo otras.

Así pues, ¿cuál era la exposición que mostramos ayer [322]? El sermón giraba en torno al árbol y demostramos que el hombre conocía el bien y el mal antes de comer de él y estaba dotado de mucha

Universidad Pontificia de Salamanca

το, ἀφ' ὧν ἐπέθηκε τὰ ὀνόματα τοῖς θηρίοις, ἀφ' ὧν ἐπέγνω τὴν γυναῖκα τὴν ἑαυτοῦ, ἀφ' ὧν εἶπε· Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν **[610]** ὀστέων μου· ἀφ' ὧν περὶ τοῦ γάμου διελέχθη καὶ περὶ παιδοποιίας, καὶ συζυγίας καὶ πατρὸς καὶ μητρὸς, ἀφ' ὧν ἐντολὴν ἔλαβεν. Οὐδὲ γὰρ ἐντολὴν δίδωσί τις καὶ νόμον τοῦ πρακτέου καὶ τοῦ μὴ πρακτέου τῷ τὸ καλὸν καὶ πονηρὸν ἀγνοοῦντι. Σήμερον ἀναγκαῖον εἰπεῖν, τίνος ἕνεκεν, εἰ μὴ παρὰ τοῦ ξύλου τὴν γνῶσιν ὁ ἄνθρωπος ἔλαβε, γνωστὸν καλοῦ καὶ πονηροῦ τὸ ξύλον εἴρηται· οὐ γὰρ μικρὸν τὸ μαθεῖν, διὰ τί ταύτην τὴν προσηγορίαν ἔχει καὶ ξύλον. Καὶ γὰρ ὁ διάβολος εἶπεν· Ἧ ἂν ἡμέρᾳ φάγητε ἀπὸ τοῦ ξύλου, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοὶ, καὶ ἔσεσθε ὡς θεοὶ, γινώσκοντες καλὸν καὶ πονηρόν. Πῶς οὖν σὺ λέγεις, φησὶν, ὅτι οὐκ ἐνέθηκε γνῶσιν καλοῦ καὶ πονηροῦ; Τίς γὰρ, εἰπέ μοι, ἐνέθηκεν; ἆρα ὁ διάβολος; Ναὶ, φησὶν, εἰπών· Ἔσεσθε ὡς θεοὶ, γινώσκοντες καλὸν καὶ πονηρόν. Εἶτα τοῦ ἐχθροῦ μοι φέρεις τὴν μαρτυρίαν καὶ τοῦ ἐπιβούλου; Καίτοι οὗτος εἶπεν, ὅτι Καὶ θεοὶ ἔσεσθε· ἆρα οὖν καὶ θεοὶ ἐγένοντο; Ὥσπερ οὖν οὐκ ἐγένοντο θεοὶ, οὕτως οὔτε γνῶσιν καλοῦ καὶ πονηροῦ τότε ἔλαβον. Ψευστὴς γάρ ἐστιν ἐκεῖνος, καὶ οὐδὲν ἀληθὲς φθέγγεται. Ἐν γὰρ τῇ ἀληθείᾳ, φησὶν, οὐχ ἕστηκε.

Μὴ δὴ τοῦ ἐχθροῦ παραγάγωμεν τὴν μαρτυρίαν, ἀλλ' ἴδωμεν ἀπ' αὐτῶν τῶν πραγμάτων, τίνος ἕνεκεν, γνωστὸν καλοῦ καὶ πονηροῦ καλεῖται τὸ ξύλον. Καὶ πρότερον, εἰ δοκεῖ, τί ποτέ ἐστι καλὸν καὶ πονηρὸν ἐπισκεψώμεθα. Τί οὖν ἐστι καλόν; Ἡ ὑπακοή. Τί δὲ πονηρόν; Ἡ παρακοή. Καὶ τέως ἡμῖν, ἵνα μὴ πλανώμεθα περὶ τὴν φύσιν τοῦ καλοῦ καὶ τοῦ πονηροῦ, ἀπὸ τῶν Γραφῶν ταῦτα διακριβούσθω. Ὅτι γὰρ τοῦτό ἐστι τὸ καλὸν καὶ πονηρὸν, ἄκουσον τί φησιν ὁ προφήτης· Τί καλὸν, καὶ τί Κύριος ὁ Θεὸς ἐκζητεῖ παρὰ σοῦ; Εἰπὲ τί καλόν. Ἀγαπᾷν Κύριον τὸν Θεόν σου. Ὁρᾷς ὅτι ἡ ὑπακοὴ καλόν; ἐκ γὰρ τῆς ἀγάπης ἡ ὑπακοή. Καὶ πάλιν· Δύο πονηρὰ, φησὶν, ἐποίησεν ὁ λαός μου οὗτος· ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος, καὶ ὤρυξαν ἑαυτοῖς λάκ-

Universidad Pontificia de Salamanca

sabiduría; por esto impuso los nombres a las bestias, por esto reconoció a su propia mujer, por esto dijo: *Esta vez hueso de mis* **[610]** *huesos*[323], por esto habló acerca del matrimonio y acerca de la procreación, de la pareja, del padre y también de la madre, por esto[324] recibió el mandato. Porque nadie, efectivamente, da un mandato y una ley de lo que ha de hacerse y de lo que no ha de hacerse al que ignora el bien y el mal.

Hoy es necesario hablar de por qué, si el hombre no alcanzó la ciencia del árbol, se le ha llamado *el árbol de la ciencia del bien y del mal*[325]*:* pues no es trivial el aprender por qué se le da también este nombre a un árbol.

Y en efecto, el diablo dijo: *El día en que comáis del árbol, se abrirán vuestros ojos y seréis como dioses, sabedores del bien y del mal*[326]. ¿Por qué tú dices, —dice—, que no les infundió el conocimiento del bien y del mal? Pues ¿quién, dime, lo infundió? ¿Acaso el diablo? Ciertamente, dice, cuando afirma: *Seréis como dioses, sabedores del bien y del mal*[327]. Por consiguiente, ¿me ofreces el testimonio del enemigo y del insidioso? Aunque dijo: *Seréis además dioses*[328], ¿acaso así se convirtieron en dioses? De la misma forma que no se transformaron en dioses, tampoco recibieron el conocimiento del bien y del mal. Sin duda aquél es un mentiroso y no dice nada verdadero. Pues, *en la verdad,* —dice—, *no se mantuvo*[329].

*Por qué el árbol de la ciencia del bien y del mal recibió este nombre*[330]

Por consiguiente, no presentemos el testimonio del enemigo, sino que veamos a partir de estos hechos por qué es llamado el árbol de la ciencia del bien y del mal. Y antes, si os parece, consideremos qué es bien y qué es mal.

Así pues, ¿qué es bien?: la obediencia. ¿Qué es mal?: la desobediencia. Y entretanto, para que no nos equivoquemos sobre la naturaleza del bien y del mal, examinemos[331] minuciosamente esto a partir de las propias[332] Escrituras. Escucha qué dice el profeta sobre qué es el bien y el mal: *¿Qué es bueno y qué reclama de ti el Señor Dios? Di qué es bueno. Que ames a tu Señor Dios*[333]. ¿Ves cómo la obediencia es un bien? Efectivamente, la obediencia nace del amor. Y de nuevo: *Dos maldades* —dice— *cometió mi pueblo: a mí me dejaron, fuente de aguas vivas, y excavaron para ellos cister-*

Universidad Pontificia de Salamanca

κους συντετριμμένους, οἳ οὐ δυνήσονται ὕδωρ συνέχειν. Ὁρᾷς ὅτι πονηρὸν ἡ παρακοὴ καὶ ἡ ἐγκατάλειψις; Τέως οὖν τοῦτο τηρῶμεν, ὅτι καλὸν ἡ ὑπακοὴ, καὶ πονηρὸν ἡ παρακοὴ, καὶ οὕτως εἰσόμεθα κἀκεῖνο. Καὶ γὰρ διὰ τοῦτο γνωστὸν καλοῦ καὶ πονηροῦ καλεῖται τὸ ξύλον, ἐπειδὴ ἡ ἐντολὴ, ἡ γυμνάζουσα τὴν ὑπακοὴν καὶ τὴν παρακοὴν, περὶ τὸ ξύλον ἐγένετο. Ἤδει μὲν γὰρ καὶ πρὸ τούτου ὁ Ἀδὰμ, ὅτι καλὸν μὲν ἡ ὑπακοὴ, πονηρὸν δὲ ἡ παρακοή· ἔμαθε δὲ ὕστερον σαφέστερον δι' αὐτῆς τῶν πραγμάτων τῆς πείρας. Ὥσπερ γὰρ καὶ ὁ Κάϊν ᾔδει μὲν ὅτι κακὸν ἡ ἀδελφοκτονία καὶ πρὶν ἢ σφάξαι τὸν ἀδελφὸν αὐτοῦ· ὅτι γὰρ ᾔδει πονηρὸν ὂν τὸ πρᾶγμα, ἄκουσόν τί φησι· Δεῦρο, ἐξέλθωμεν εἰς τὸ πεδίον. Καίτοι τίνος ἕνεκεν ἕλκεις εἰς τὸ πεδίον ἀπὸ τῶν πατρικῶν ἀποσπάσας ἀγκαλῶν τὸν ἀδελφόν; τί δὲ καθιστᾷς ἐν ἐρημίᾳ; τί δὲ γυμνὸν ποιεῖς τῆς κηδεμονίας; τί πόῤῥω τῆς πατρικῆς ἀπάγεις ὄψεως; τί διακρύπτεις τὴν τόλμαν, εἰ μὴ δέδοικας τὴν ἁμαρτίαν; τί δὲ καὶ μετὰ τὸ ποιῆσαι τὸν φόνον, πάλιν ἐρωτώμενος δυσχεραίνεις καὶ ψεύδῃ; Τοῦ **[611]** γὰρ Θεοῦ εἰπόντος· Ποῦ Ἄβελ, ὁ ἀδελφός σου; εἶπας· Μὴ φύλαξ εἰμὶ τοῦ ἀδελφοῦ μου ἐγώ; Ὅθεν δῆλον ὅτι σαφῶς εἰδὼς ἦλθεν ἐπὶ τὴν ἐργασίαν ταύτην. Ὥσπερ οὖν οὗτος ᾔδει μὲν καὶ πρὸ τῆς πείρας ὅτι κακὸν ὁ φόνος, ἔμαθε δὲ σαφέστερον καὶ μετὰ ταῦτα, ὅτε τὴν τιμωρίαν ἐδέξατο, καὶ ἤκουσε· Στένων καὶ τρέμων ἔσῃ ἐπὶ τῆς γῆς· οὕτω καὶ ὁ πατὴρ τούτου εἶχε τοῦ καλοῦ καὶ τοῦ κακοῦ καὶ πρὸ τοῦ φαγεῖν τὴν γνῶσιν, εἰ καὶ μὴ οὕτω σαφῆ, ὡς μετὰ τὴν τοῦ ξύλου βρῶσιν. Τί λέγω;

Τὰ γὰρ κακὰ πάντες οἴδαμεν καὶ πρὶν ἢ πρᾶξαι, σαφέστερον δὲ μανθάνομεν μετὰ τὸ πρᾶξαι· πολλῷ δὲ σαφέστερον, ὅταν κολαζώμεθα. Οὕτω καὶ ὁ Κάϊν ᾔδει μὲν ὅτι κακὸν ἡ ἀδελφοκτονία καὶ πρὸ τούτου· ἔμαθε δὲ ὕστερον διὰ τῆς κολάσεως σαφέστερον· ἐπεὶ καὶ ἡμεῖς οἴδαμεν

Universidad Pontificia de Salamanca

*nas agrietadas, que no podrán retener el agua*[334]. ¿Ves cómo es un mal la desobediencia y el abandono? Así pues, hasta el momento, mantengamos esto, que la obediencia es un bien y la desobediencia es un mal y así entenderemos también aquello.

Efectivamente, por esto es llamado el árbol de la ciencia del bien y del mal, porque el mandato, el que adiestra en la obediencia y en la desobediencia, vino del árbol. Pues sin duda, Adán sabía antes de esto que la obediencia es un bien y que la desobediencia es un mal[335]: sin embargo, lo aprendió después más manifiestamente por medio de la experiencia de los hechos[336]. Del mismo modo que antes de matar a su hermano, Caín sabía que el fratricidio es un mal: y porque sabía que era malo su modo de obrar, escucha que dice: *¡Vamos, salgamos al campo!*[337]. Y por ello me pregunto, ¿por qué arrastras al campo al hermano separándole de los brazos paternos?, ¿por qué lo llevas a un lugar solitario?, ¿por qué le dejas desprovisto de protección?, ¿por qué lo conduces lejos de la vista del padre?, ¿por qué ocultas tu osadía, si no temes al castigo?, ¿y por qué, después de cometer el homicidio, al ser interrogado, te muestras enojado y mientes?[338]. **[611]** En efecto, cuando Dios preguntó, *¿Dónde está Abel, tu hermano?*[339], respondiste: *No soy yo el guardián de mi hermano*[340]. De donde es evidente que actuó con pleno conocimiento. Por lo tanto, lo mismo que éste sabía antes de cometerlo que el homicidio es un mal, y sin embargo, lo aprendió con mayor claridad después, cuando recibió el castigo y escuchó: *Gimiendo y temblando estarás por la tierra*[341], del mismo modo también su padre tenía el conocimiento del bien y del mal antes de haber comido del árbol, aunque no tan claramente como después de comer de él. ¿Por qué digo esto?[342].

### *Reconocemos mejor las malas acciones después de perpetrarlas*[343]

Sin duda, todos conocemos las malas acciones incluso antes de haberlas realizado; en cambio, las aprendemos más manifiestamente después de haberlas hecho. Y mucho más claramente todavía cuando somos castigados.

Así también Caín sabía, incluso antes de llevarlo a cabo, que el fratricidio es un mal; pero, sobre todo, lo aprendió después con más claridad por medio del castigo. Por otra parte, también nosotros sabe-

Universidad Pontificia de Salamanca

ὅτι καλὸν ἡ ὑγίεια, καὶ φορτικὸν ἡ νόσος καὶ πρὸ τῆς πείρας· πολλῷ δὲ μᾶλλον, ὅταν εἰς τὴν νόσον ἐμπέσωμεν, ἀμφοτέρων τὴν διαφορὰν γινώσκομεν.

γ'. Τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ Ἀδὰμ ᾔδει μὲν ὅτι καλὸν ἡ ὑπακοή, καὶ κακὸν ἡ παρακοή· ὕστερον δὲ σαφέστερον ἔμαθεν, ὅτε τοῦ ξύλου γευσάμενος ἐξεβλήθη τοῦ παραδείσου, καὶ τῆς μακαριότητος ἐκείνης ἐξέπεσεν. Ἐπεὶ οὖν εἰς τιμωρίαν ἐνέπεσεν, ὅτι, τοῦ Θεοῦ κωλύσαντος, ἐγεύσατο τοῦ ξύλου, ἡ τιμωρία αὐτὸν σαφέστερον ἐπαίδευσε διὰ τῆς πείρας, ὅσον κακὸν Θεοῦ παρακούειν, καὶ ὅσον ὑπακούειν καλόν· διὰ τοῦτο γνωστὸν καλοῦ καὶ πονηροῦ τὸ ξύλον καλεῖται. Καὶ τίνος ἕνεκεν, εἰ μὴ αὐτὴ ἡ φύσις τοῦ ξύλου τὴν γνῶσιν εἶχε τοῦ καλοῦ καὶ τοῦ πονηροῦ, ἀλλ' ἐκ τῆς τιμωρίας τῆς διὰ τὴν παρακοὴν τὴν ἐπὶ τῷ ξύλῳ σαφέστερον τοῦτο ἔμαθεν ὁ ἄνθρωπος, γνωστὸν καλοῦ καὶ πονηροῦ τὸ ξύλον καλεῖται; Ὅτι ἔθος τῇ Γραφῇ τοῦτο, ἐπειδὰν τὸ πρᾶγμα γένηται, ἢ ἐν τόποις, ἢ ἐν καιροῖς, ἀπὸ τῶν πραγμάτων καλεῖν καὶ τοὺς τόπους καὶ τοὺς καιρούς. Καὶ ἵνα σαφέστερον γένηται τὸ λεγόμενον, ἐπὶ ὑποδείγματος ὑμῖν τοῦτο ποιήσω φανερόν. Ὁ Ἰσαάκ ποτε φρέατα ὤρυξε· ταῦτα τὰ φρέατα ἐπεχείρησαν οἱ γείτονες διαφθεῖραι· ἐντεῦθεν ἐγένετό τις ἀπέχθεια, καὶ ἐκάλεσε τὸ φρέαρ Ἔχθραν· οὐκ ἐπειδὴ αὐτὸ τὸ φρέαρ ἤχθρανεν, ἀλλ' ἐπειδὴ περὶ αὐτὸ ἡ ἔχθρα γέγονεν. Οὕτω καὶ τὸ ξύλον γνωστὸν καλοῦ καὶ πονηροῦ καλεῖται, οὐκ ἐπειδὴ αὐτὸ εἶχε γνῶσιν, ἀλλ' ἐπειδὴ περὶ αὐτὸ ἐγένετο ὁ ἔλεγχος τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ πονηροῦ. Πάλιν ὤρυξε φρέαρ ὁ Ἀβραάμ, ἐπεβούλευσεν ὁ Ἀβιμέλεχ· συνῆλθον, κατέλυσαν τὴν ἔχθραν, καὶ ὅρκους δόντες ἀλλήλοις, ἐκάλεσαν τὸ φρέαρ ἐκεῖνο Φρέαρ ὅρκου· οὐκ ἐπειδὴ τὸ φρέαρ ὤμοσεν, ἀλλ' ἐπειδὴ περὶ τὸ φρέαρ ὁ ὅρκος ἐγένετο. Ὁρᾷς πῶς οὐχὶ τῶν πραγμάτων οἱ τόποι αἴτιοι γίνονται, εἰ καὶ τῶν πραγμάτων λαμβάνουσι τὰ ὀνόματα; Καὶ γὰρ πολλὴ ἀνάγκη παραγαγεῖν παραδείγματα, ὥστε σαφέστερον γενέσθαι τὸ λεγόμενον. Πάλιν εἶδεν ὁ Ἰακὼβ ἀγγέλους ἀπαντήσοντας αὐτῷ καὶ παρεμβολὴν Θεοῦ, καὶ ἐκάλεσε τὸν τόπον Παρεμβολήν. Καίτοι οὐχ ὁ τόπος ἦν ἡ παρεμβολή, ἀλλ' ὅμως ἐκλήθη ὁ τόπος Παρεμβολή, ἐπειδὴ ἐκεῖ εἶδε τὴν παρεμβολήν.

Universidad Pontificia de Salamanca

mos que la buena salud es un bien y que la enfermedad, incluso antes de sufrirla, es fastidiosa; pero mucho más, cuando caemos enfermos [344] y nos damos cuenta de la diferencia entre ambas.

*3.* De la misma manera Adán sabía también que la obediencia es un bien y la desobediencia un mal [345]; pero después lo aprendió mejor, cuando, tras haber probado del árbol, fue expulsado del Paraíso y quedó privado de tamaña felicidad. Por lo tanto, cuando cayó en la pena, porque habiéndoselo prohibido Dios gustó del árbol, el castigo le enseñó más manifiestamente por medio de la experiencia cuán grande es el mal al desobedecer a Dios y cuán grande es el bien al obedecerle [346]. Por esto se llama el árbol de la ciencia del bien y del mal. Si la propia naturaleza del árbol no tenía el conocimiento del bien y del mal, sino que el hombre lo aprendió más claramente a consecuencia del castigo por la desobediencia relativa al árbol, ¿por qué se llama el árbol de la ciencia del bien y del mal?

Ciertamente es costumbre de la Escritura, después de que un hecho sucediera en lugares o en tiempos, nombrar tales lugares y también tales tiempos [347] por dichos hechos. Y para que sea más evidente lo dicho, os lo ilustraré con un ejemplo.

En otro tiempo, Isaac excavó pozos: los vecinos [348] intentaron destruir estos pozos; de ahí nació una enemistad y llamó al pozo «Odio» [349]: no porque el pozo mismo odiara, sino porque la enemistad nació de él. Del mismo modo también se llama el árbol de la ciencia del bien y del mal, no porque éste tuviera el conocimiento, sino porque de él nació la constatación del conocimiento del bien y del mal.

A su vez, Abraham excavó un pozo y Abimelek se abalanzó contra él: se reunieron, pusieron fin a la enemistad, y prestando mutuo juramento, llamaron a aquel pozo «Pozo del juramento» [350], no porque el pozo jurase, sino porque del pozo nació el juramento.

¿Ves cómo los lugares no son los causantes de los hechos, aunque reciban sus nombres? Y en efecto, es muy necesario aportar ejemplos, de modo que esté más claro lo dicho.

De nuevo Jacob vio unos ángeles que le salían al encuentro y en referencia al campamento de Dios, llamó también al lugar «Campamento» [351]. Aunque el lugar no lo fuese, no obstante, el lugar fue llamado «Campamento», porque allí vio el campamento.

Universidad Pontificia de Salamanca

Ὁρᾷς πῶς ἀπὸ τοῦ πράγματος τοῦ συμβάντος ἐν τῷ τόπῳ τὸν τόπον ὠνόμασεν; Οὕτω καὶ τὸ ξύλον γνωστὸν καλοῦ καὶ πονηροῦ καλεῖται, οὐκ ἐπειδὴ αὐτὸ εἶχε γνῶσιν καλοῦ καὶ πονηροῦ, ἀλλ' ἐπειδὴ περὶ αὐτὸ ἐγένετο ἡ ἀπόδειξις τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ πονηροῦ, καὶ ἡ γυμνασία τῆς παρακοῆς καὶ τῆς ὑπακοῆς. Πά- **[612]** λιν εἶδε τὸν Θεὸν ὁ Ἰακὼβ, ὡς ἰδεῖν ἀνθρώπῳ δυνατὸν ἦν, καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου Εἶδος Θεοῦ. Διὰ τί· Ὅτι εἶδον τὸν Θεὸν, φησί. Καὶ μὴν οὐχ ὁ τόπος εἶδος Θεοῦ ἦν, ἀλλ' ἀπὸ τοῦ πράγματος τοῦ συμβάντος ἐν τῷ τόπῳ ἡ προσηγορία γέγονεν. Ὁρᾷς διὰ πόσων ἀποδέδεικται, ὅτι ἔθος τῇ Γραφῇ ἀπὸ τῶν πραγμάτων τῶν συμβαινόντων ἐν τοῖς τόποις αὐτοὺς τοὺς τόπους καλεῖν; Τὸ αὐτὸ δὲ τοῦτο καὶ ἐπὶ καιρῶν ποιεῖν εἴωθεν. Ἀλλ' ἵνα μὴ κατατείνωμεν ὑμᾶς, φέρε μεταγάγωμεν τὸν λόγον ἀπὸ τῶν σκυθρωποτέρων ἐπὶ τὰ φαιδρότερα. Καὶ γὰρ ἔκαμεν ὑμῶν ἡ διάνοια τοῖς λεπτοτέροις νοήμασιν ἐνδιατρίβουσα· διόπερ αὐτὴν ἀναπαῦσαι καλὸν, τοῖς ἀφελεστέροις καὶ φαιδροτέροις διαιτῶντας νοήμασιν.

Ἐπανίωμεν τοίνυν ἐπὶ τὸ σωτήριον τοῦ σταυροῦ ξύλον. Τοῦτο γὰρ, τοῦτο πάντα ἀνέλυσε τὰ δεινὰ, ὅσα ἐκεῖνο εἰσήγαγε· μᾶλλον δὲ οὐκ ἐκεῖνο εἰσήγαγε τὰ δεινὰ, ἀλλ' ὁ ἄνθρωπος ἅπαντα, ἅπερ μετὰ πολλῆς ὕστερον ἀνέλυσε τῆς περιουσίας ὁ Χριστὸς, πολλῷ μείζονα αὐτῶν εἰσαγαγὼν ἀγαθά. Δι' αὐτὸ τοῦτο ὁ Παῦλός φησιν· Ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις· τουτέστι, μεῖζον τὸ δῶρον τοῦ ἁμαρτήματος. Διὰ τοῦτο πάλιν φησίν· Οὐχ ὡς τὸ παράπτωμα, οὕτω καὶ τὸ χάρισμα· οὐχ ὅσον ἥμαρτεν ὁ ἄνθρωπος, τοσοῦτον ἐχαρίσατο ὁ Θεός· οὐχ ὅση ἡ ζημία, τοσαύτη καὶ ἡ πραγματεία· οὐχ ὅσον τὸ ναυάγιον, τοσαύτη καὶ ἡ ἐμπορία· ἀλλὰ πλείω τὰ ἀγαθὰ τῶν κακῶν· καὶ εἰκότως. Τὰ μὲν γὰρ κακὰ δοῦλος εἰσήγαγε, καὶ ἐλάττονα ἦν· τὰ δὲ ἀγαθὰ Δεσπότης ἐχαρίσατο, διὸ καὶ πλείονα ἦν. Διὰ τοῦτό φησιν· Οὐχ ὡς τὸ παράπτωμα, οὕτω καὶ τὸ χάρισμα. Εἶτα ἐπάγει καὶ τὴν διαφοράν· Τὸ μὲν γὰρ κρῖμα ἐξ ἑνὸς εἰς κατάκριμα, τὸ δὲ χάρισμα ἐκ πολλῶν παραπτωμάτων εἰς δικαίωμα.

Universidad Pontificia de Salamanca

¿Ves cómo llamó al lugar por el hecho acontecido en el lugar? Del mismo modo también se llama el árbol de la ciencia del bien y del mal, no porque éste tuviera conocimiento del bien y del mal, sino porque de él nació la demostración del conocimiento del bien y del mal, y el ejercicio de la desobediencia y de la obediencia.

**[612]** De nuevo vio Jacob a Dios, en la medida en que a un hombre le era posible verlo, y le puso por nombre a aquel lugar *Apariencia de Dios*. ¿Por qué? *Porque vi a Dios* [352], dice. Y en verdad, el lugar no era la forma de Dios, sino que del hecho acontecido en el lugar surgió su denominación.

¿Ves por medio de cuántos ejemplos ha sido demostrado que es costumbre en la Escritura llamar a los lugares mismos por los hechos que acontecieron en ellos? Acostumbra también a hacer lo mismo con las circunstancias de tiempo. Mas, para no haceroslo más largo, dirijamos el sermón de lo más arduo [353] a lo más sencillo [354], ya que vuestra mente se cansó ocupada en sutiles pensamientos; precisamente por esto conviene aliviarla, alimentándola con pensamientos más simples y más claros.

*Trata de los bienes que se derivaron de la cruz. Por qué el ladrón fue conducido al Paraíso* [355]

Por consiguiente, volvamos hacia el árbol salvador de la cruz. Pues éste reparó todas las malas acciones que aquél introdujo. O mejor, aquél no introdujo dichas desgracias, sino que fue el hombre, desgracias que precisamente mucho después Jesucristo reparó con creces, aportando mayores bienes que aquéllas. Por esto mismo dice Pablo: *Donde abundó el pecado, sobreabundó la gracia* [356]; es decir, mayor es el don que el pecado. Por esto dice de nuevo: *No fue como la ofensa, el regalo [de Dios]* [357]: no tanto como pecó el hombre, así perdonó Dios; no fue tanta la falta como la ocupación; no fueron tantos los restos del naufragio como el comercio, sino que, como es natural, fueron más abundantes los bienes que los males.

En efecto, un esclavo introdujo los males y eran muy insignificantes; en cambio, el Señor otorgó los bienes, de ahí que fueran mayores. Por esta razón dice: *No fue como la ofensa, el regalo [de Dios]* [358]. A continuación señala la diferencia: *Pues de una parte, el juicio de un solo delito [lleva] a la condenación, de otra, la gracia de muchos a la justificación* [359]. Es poco claro lo que se dice; por lo

Universidad Pontificia de Salamanca

Ἀσαφέστερον τὸ εἰρημένον· οὐκοῦν ἀνάγκη τὴν λύσιν ἐπαγαγεῖν. Τὸ μὲν γὰρ κρῖμα, τουτέστιν ἡ κόλασις, ἡ τιμωρία, ὁ θάνατος· Ἐξ ἑνὸς, τουτέστιν ἁμαρτήματος· Μία γὰρ, φησὶν, ἁμαρτία τοσοῦτον εἰσήγαγε κακόν· τὸ δὲ χάρισμα οὐκ ἐκείνην μόνην τὴν ἁμαρτίαν ἔλυσεν, ἀλλὰ καὶ ἑτέρας πολλάς. Διὰ τοῦτο λέγει· Τὸ δὲ χάρισμα ἐκ πολλῶν παραπτωμάτων εἰς δικαίωμα. Διὰ τοῦτο καὶ ὁ Ἰωάννης ὁ βαπτιστὴς ἐβόα· Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, οὐχὶ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ Ἀδὰμ, ἀλλ', Ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. Εἶδες πῶς οὐχ ὡς τὸ παράπτωμα, οὕτω καὶ τὸ χάρισμα, ἀλλὰ πλείονα εἰσήγαγε τοῦτο τὸ ξύλον ἀγαθὰ τῶν παρὰ τὴν ἀρχὴν εἰσενεχθέντων κακῶν;

δ'. Ταῦτα δὲ εἶπον, ἵνα μὴ νομίσῃς ἐπηρεάζεσθαί σε παρὰ τῶν πρώτων. Ἐξέβαλεν ὁ διάβολος τὸν Ἀδὰμ, εἰσήγαγε τὸν λῃστὴν ὁ Χριστός. Καὶ σκόπει τὸ διάφορον. Ἐκεῖνος οὐκ ἔχοντα ἁμαρτίαν τὸν ἄνθρωπον, ἀλλὰ μίαν κηλῖδα παρακοῆς, ἐξέβαλεν· ὁ Χριστὸς λῃστὴν μυρία φορτία ἁμαρτημάτων βαστάζοντα οὕτως εἰσήγαγεν εἰς τὸν παράδεισον. Ἆρ' οὖν τοῦτο μόνον τὸ θαῦμά ἐστιν, ὅτι λῃστὴν εἰσήγαγεν εἰς παράδεισον, ἄλλο δὲ οὐδέν; Ἔστι καὶ ἄλλο μεῖζον εἰπεῖν. Οὐ γὰρ λῃστὴν εἰσήγαγε μόνον, ἀλλὰ καὶ πρὸ τῆς οἰκουμένης ἁπάσης, καὶ πρὸ τῶν ἀποστόλων· ἵνα μηδεὶς τῶν **[613]** μετὰ ταῦτα ἀπογνῷ τὴν εἴσοδον, μηδὲ ἀπελπίσῃ τὴν σωτηρίαν τὴν ἑαυτοῦ, τὸν μυρίων γέμοντα κακῶν ἐν ταῖς βασιλικαῖς αὐλαῖς στρεφόμενον ὁρῶν· Ἀλλ' ἴδωμεν, μὴ πόνους ἐπεδείξατο καὶ κατορθώματα καὶ καρποὺς ὁ λῃστής. Οὐδὲ τοῦτο ἔστιν εἰπεῖν, ἀλλ' ἀπὸ ψιλοῦ ῥήματος, ἀπὸ πίστεως μόνης πρὸ τῶν ἀποστόλων εἰσεπήδησεν εἰς τὸν παράδεισον, ἵνα μάθῃς ὅτι οὐχ ἡ ἐκείνου εὐγνωμοσύνη τοσοῦτον ἴσχυσεν, ὅσον τοῦ Δεσπότου ἡ φιλανθρωπία τὸ πᾶν ἐποίησε. Τί γὰρ εἶπεν ὁ λῃστής; τί δὲ ἔπραξεν; ἐνήστευσεν; ἐδάκρυσεν; περιεσχίσατο; μετάνοιαν ἐπεδείξατο ἐν πολλῷ τῷ χρόνῳ; Οὐδαμῶς· ἀλλ' ἐν αὐτῷ τῷ σταυρῷ μετὰ τὴν ἀπόφασιν σωτηρίας ἔτυχεν. Ὅρα τάχος· ἀπὸ σταυροῦ εἰς οὐρανὸν, ἀπὸ καταδίκης εἰς σωτηρίαν. Τίνα ἐστὶν ἄρα ἐκεῖνα τὰ ῥήματα; πόσην ἔχει τὴν δύναμιν, ὅτι τοσαῦτα τούτῳ ἐκόμισεν ἀγαθά; Μνήσθητί μου, φησὶν, ἐν τῇ βασιλείᾳ σου. Καὶ τί τοῦτο; Ἤτησε λαβεῖν ἀγαθὰ, οὐ σπουδὴν τὴν δι' ἔργων ἐπεδείξατο· ἀλλ' ὁ τὴν καρδίαν αὐτοῦ εἰδὼς, οὐ τοῖς ῥήμασι

Universidad Pontificia de Salamanca

tanto, es necesario añadir una explicación: *Pues de una parte, el juicio*[360], es decir, la pena, el castigo, la muerte[361]; *de uno solo,* es decir, de un pecado. Ciertamente, dice, un solo pecado trajo tanto mal; pero por otra parte, la gracia no reparó sólo aquel pecado, sino también otros muchos. Por esto afirma: *De otra la gracia de muchos delitos [lleva] a la justificación*[362]. También por esto Juan el Bautista clamaba: *He aquí el cordero de Dios,* no, «el que quita el pecado de Adán», sino, *el que quita el pecado del mundo*[363].

¿Viste cómo no fue tanta la justificación como la gracia, sino que este árbol introdujo bienes mayores que los males extendidos desde el principio?

*4.* Dije esto para que no creas que tú fuiste ofendido por los antepasados. El diablo expulsó a Adán[364], Cristo introdujo al ladrón. Pero observa la diferencia. Aquél, no teniendo ningún pecado, sino una sola mancha de desobediencia, expulsó al hombre; Cristo introdujo a un ladrón en el Paraíso, llevando consigo innumerables cargas de pecados. Por lo tanto, ¿acaso es esto lo único admirable, que introdujera a un ladrón en el Paraíso, y ninguna otra cosa?

También es posible afirmar algo más importante: pues no sólo introdujo a un ladrón, sino que lo hizo antes que a toda la tierra[365] y antes que a los apóstoles, para que **[613]** después de esto nadie perdiera la esperanza de entrar, ni desesperase de su propia salvación, y aunque esté cargado de innumerables males, se vea coronado con palacios reales.

Pero veamos: el ladrón no mostró trabajos, ni rectas acciones, ni frutos[366]. Ni tan siquiera esto puede decirse, sino que por una única palabra, por una fe singular[367], saltó al Paraíso antes que los apóstoles; para que comprendas que la consideración[368] de aquél no tuvo tanta fuerza como la benignidad del Señor que lo hizo todo.

En efecto, ¿qué dijo el ladrón?, ¿qué hizo?, ¿acaso ayunó?, ¿lloró?, ¿estaba afligido?, ¿mostró arrepentimiento durante mucho tiempo? De ningún modo, sino que alcanzó la salvación en la propia cruz después de la sentencia. Mira con qué rapidez: de la cruz al cielo, de la condena a la salvación. ¿Cuáles fueron entonces aquellas palabras? ¿Tienen tanta fuerza que le aportaron tantos bienes? *Acuérdate de mi,* dice, *en tu Reino*[369]. ¿Y qué significa? Pidió que le consiguiera el bien, no demostró su empeño con las obras, sino que

Universidad Pontificia de Salamanca

προσέσχεν, ἀλλὰ τῇ διαθέσει τῆς διανοίας. Οἱ μὲν γὰρ προφητικῶν ἀπολαύσαντες διδαγμάτων, οἱ τὰ σημεῖα ἰδόντες, οἱ τὰ θαύματα θεασάμενοι, ἔλεγον περὶ τοῦ Χριστοῦ, ὅτι Δαιμόνιον ἔχει, καὶ, Πλανᾷ τὸν ὄχλον· ὁ δὲ λῃστὴς μὴ προφητῶν ἀκούσας, μὴ θαύματα ἰδὼν, ἰδὼν ἐπὶ τοῦ σταυροῦ προσηλωμένον, οὐ προσέσχε τῇ ἀτιμίᾳ, οὐκ εἶδε τὴν ἀδοξίαν, ἀλλ' εἰς τὴν θεότητα αὐτὴν ἰδὼν, Μνήσθητί μου, φησὶν, ἐν τῇ βασιλείᾳ σου. Καινὸν τοῦτο καὶ παράδοξον. Σταυρὸν ὁρᾷς, καὶ βασιλείας μέμνησαι; Τί βασιλείας ἄξιον εἶδες; Ἐσταυρωμένον ἄνθρωπον, ῥαπιζόμενον, χλευαζόμενον, κατηγορούμενον, ἐμπτυόμενον, μαστιζόμενον· ταῦτα οὖν βασιλείας ἄξια, εἰπέ μοι; Ὁρᾷς ὅτι τοῖς τῆς πίστεως ἔβλεπεν ὀφθαλμοῖς, καὶ οὐ τὰ φαινόμενα ἐξήταζε; Διὰ τοῦτο οὔτε ὁ Θεὸς τὰ ῥήματα ἐξήταζε τὰ ψιλὰ, ἀλλ' ὥσπερ οὗτος εἶδεν εἰς τὴν θεότητα, οὕτως ὁ Θεὸς εἶδεν εἰς τὴν καρδίαν τοῦ λῃστοῦ, καί φησι· Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ.

Ἐνταῦθα προσέχετε· ζήτημα γὰρ οὐ τὸ τυχὸν ἐπιφύεται. Καὶ γὰρ οἱ Μανιχαῖοι, οἱ κύνες, οἱ ἐννεοὶ καὶ λυττῶντες, τὸ σχῆμα μὲν ἐπιδείκνυνται ἐπιεικείας, τὴν χαλεπὴν δὲ ἔνδον ἔχουσι τῶν κυνῶν μανίαν, καὶ κατακρύπτουσι τῇ δορᾷ τοῦ προβάτου τὸν λύκον. Ἀλλὰ μὴ τὸ φαινόμενον ἴδῃς, ἀλλὰ τὸ ἔνδον κεκρυμμένον θηρίον ἐξέτασον. Οὗτοι τοίνυν ἐπιλαβόμενοι τοῦ χωρίου τούτου φασίν· Εἶπεν ὁ Χριστός· Ἀμὴν, ἀμὴν λέγω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ· οὐκοῦν ἀντίδοσις ἤδη γέγονε τῶν ἀγαθῶν, καὶ περιττὴ ἡ ἀνάστασις. Εἰ γὰρ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπέλαβεν ὁ λῃστὴς τὰ ἀγαθὰ, τὸ δὲ σῶμα αὐτοῦ οὐκ ἀνέστη οὐδέπω καὶ τήμερον, οὐκ ἔσται σωμάτων λοιπὸν ἀνάστασις. Ἆρα ἐνοήσατε τὸ λεχθὲν, ἢ δεύτερον αὐτὸ πάλιν εἰπεῖν ἀνάγκη; Ἀμὴν, ἀμὴν λέγω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. Εἰσῆλθεν οὖν, φησὶν, εἰς τὸν παράδεισον ὁ λῃστὴς οὐ μετὰ τοῦ σώματος· πῶς γὰρ, ὁπότε οὐκ ἐτάφη τὸ σῶμα αὐτοῦ, οὐδὲ διελύθη καὶ κόνις ἐγένετο; καὶ οὐδαμοῦ εἴρηται, ὅτι ἀνέστησεν ὁ Χριστὸς αὐτόν. Εἰ δὲ εἰσήγαγε τὸν λῃστὴν,

Universidad Pontificia de Salamanca

conocedor de su corazón, no atendió a las palabras, sino a su intención [370].

Pues ciertamente, los que se aprovecharon de las enseñanzas de los profetas, los que vieron las señales, los que contemplaron los milagros, decían de Cristo: *Tiene demonio* y *Equivoca a la muchedumbre* [371]; en cambio, el ladrón, que no escuchó a los profetas, que no vio los prodigios, que lo vio clavado en la cruz, no atendió al deshonor, ni vio la infamia, sino que considerando su propia divinidad, dice: *Acuérdate de mí en tu Reino* [372].

Esto es inaudito y paradójico. ¿Ves una cruz y te acuerdas del Reino? ¿Lo viste como digno de un Reino? Un hombre que fue crucificado, azotado, ridiculizado, acusado con insistencia, escupido, flagelado [373]; dime, ¿ciertamente todo esto es digno de un Reino? ¿Ves que miraba con los ojos de la fe y no examinaba lo que veía? Por esto, Dios no juzgó las palabras vacías, sino que, del mismo modo que éste reconoció a la divinidad, así Dios comprendió el corazón del ladrón y dijo [374]: *Hoy estarás conmigo en el Paraíso* [375].

*Refuta la objeción de los maniqueos* [376]

Volved la atención a este punto: pues una investigación no nace por azar. En efecto los maniqueos, los perros, los mudos y rabiosos, ciertamente muestran la apariencia de la bondad, pero interiormente tienen la furiosa locura de los perros y ocultan al lobo con la piel de la oveja [377]. Pero no te fijes tú en la apariencia, e investiga la bestia que se mantiene escondida dentro.

Por consiguiente, ésos que se aferran a ese pasaje dicen: *Dijo Cristo: Amén, amén te digo, hoy estarás conmigo en el Paraíso* [378], de donde resulta que la retribución de los buenos ha tenido ya cumplimiento y la resurrección es vana. Pues si en aquel día el ladrón recibió la recompensa, y en cambio su cuerpo de ningún modo resucitó entonces, la resurrección de los cuerpos no tendrá lugar después.

¿Comprendisteis lo dicho o es necesario repetirlo? *Amén, amén te digo, hoy estarás conmigo en el Paraíso* [379]. Así pues, dice, entró el ladrón en el Paraíso, mas no con el cuerpo. ¿Cómo pudo ser, pues, cuando su cuerpo no fue enterrado, ni fue dispersado, ni convertido en cenizas? Y además, en ninguna parte fue dicho que Cristo lo resucitara. Pero si introdujo al ladrón y disfrutó de los bienes separado

Universidad Pontificia de Salamanca

καὶ χωρὶς τοῦ σώματος ἀπέλαυσε τῶν ἀγαθῶν, εὔδηλον ὅτι σώματος οὐκ ἔστιν ἀνάστασις. Εἰ γὰρ ἦν σώματος ἀνάστασις, οὐκ ἂν εἶπε· Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ, ἀλλ', ἐν τῷ καιρῷ τῆς συντελείας, ὅταν σωμάτων ἀνάστασις ᾖ. Εἰ δὲ ἤδη εἰσήγαγε τὸν **[614]** λῃστὴν, τὸ δὲ σῶμα αὐτοῦ φθαρὲν ἔμεινεν ἔξω, εὔδηλον ὅτι σωμάτων ἀνάστασις οὐκ ἔστι. Ταῦτα ἐκεῖνοι· δέχεσθε δὲ λοιπὸν καὶ τὰ παρ' ἡμῶν, μᾶλλον δὲ οὐ τὰ παρ' ἡμῶν, ἀλλὰ τὰ παρὰ τῆς θείας Γραφῆς· οὐ γὰρ τὰ ἡμέτερα λέγομεν, ἀλλὰ τὰ τοῦ ἁγίου Πνεύματος. Τί λέγεις; οὐ κοινωνεῖ τῶν στεφάνων ἡ σάρξ; Ἀλλ' ἐν μὲν τοῖς πόνοις ἐκοινώνησεν, ἐν δὲ τοῖς μισθοῖς ἀποστερεῖται; καὶ ὅτε μὲν ἀγωνίζεσθαι ἔδει, τὸ πλέον ἐδέξατο τῶν ἱδρώτων· ὅτε δὲ στεφάνων καιρὸς, μόνη ἡ ψυχὴ στεφανοῦται; Οὐκ ἀκούεις τοῦ Παύλου λέγοντος, ὅτι Παραστῆναι ἡμᾶς δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα ἕκαστος κομίσηται τὰ ἴδια τοῦ σώματος, πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε κακόν; Οὐκ ἀκούεις αὐτοῦ λέγοντος πάλιν· Δεῖ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν, καὶ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν; Τὸ θνητὸν, ποῖον; τὴν ψυχὴν, ἢ τὸ σῶμα; Εὔδηλον ὅτι τὸ σῶμα· ἡ γὰρ ψυχὴ φύσει ἀθάνατος, θνητὸν δὲ φύσει τὸ σῶμα. Ἀλλὰ πολλὰ περικόπτουσι τούτων· πλὴν καὶ ἀπ' αὐτῶν τῶν ὑπολελειμμένων τὴν συγγένειαν τῶν περικοπέντων ἐλέγξομεν. Εἰσῆλθεν εἰς τὸν παράδεισον ὁ λῃστὴς, φησί. Καὶ τί τοῦτο; μὴ γὰρ ταῦτά ἐστι τὰ ἀγαθὰ, ἅπερ ὁ Θεὸς ἡμῖν ἐπαγγέλλεται;

ε'. Οὐκ ἀκούεις τοῦ Παύλου περὶ τὰ ἀγαθὰ ἐκεῖνα τί φησιν; Ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη· τὸν δὲ παράδεισον καὶ ὀφθαλμὸς εἶδε τοῦ Ἀδὰμ, καὶ οὖς ἤκουσε, καὶ καρδία ἀνθρώπου ἐδέξατο· περὶ γὰρ αὐτοῦ τοσαύτας ἡμέρας διαλεγόμεθα· πῶς οὖν ἀπέλαβε τὰ ἀγαθὰ ὁ λῃστής; Οὐ γὰρ εἰς παράδεισον ἐπαγγέλλεται εἰσαγαγεῖν ἡμᾶς ὁ Θεὸς, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανόν· οὐδὲ βασιλείαν παραδείσου, ἀλλὰ βασιλείαν οὐρανῶν ἐκήρυξεν. Ἤρξατο γὰρ, φησὶ, κηρύττειν καὶ λέγειν· Μετανοεῖτε· ἤγγικε γὰρ, οὐχ ἡ βασιλεία τοῦ παραδείσου, ἀλλ', ἡ βασιλεία τῶν οὐρανῶν. Ἀπώλεσας μὲν γὰρ παράδει-

Universidad Pontificia de Salamanca

del cuerpo, es evidente que no se trata de la resurrección del cuerpo. Pues si se tratara de la resurrección del cuerpo, no habría dicho: *Hoy estarás conmigo en el Paraíso*[380], sino en el tiempo de la consumación, cuando sea la resurrección de los cuerpos. Pero si introdujo inmediatamente al **[614]** ladrón y en cambio su cuerpo permaneció corrupto fuera, está claro que no se trata de la resurrección de los cuerpos. Esto es lo que aquéllos piensan[381]; sin embargo recibid en lo sucesivo estas palabras nuestras, o mejor dicho, no nuestras, sino de la Sagrada Escritura; pues no proceden de nosotros estas enseñanzas, sino del Espíritu Santo.

¿Qué dices? ¿No participa la carne de las coronas? Pero ¿cómo? ¿Participó en los trabajos, y en cambio es privada de las recompensas? ¿Cuando era realmente necesario combatir aceptó la mayor parte de las fatigas, pero cuando se presentó el tiempo de las coronas solamente fue coronada el alma? ¿No escuchas a Pablo que dice: *Es necesario que nosotros nos presentemos delante del tribunal de Cristo, para que cada cual obtenga lo particular de su vida, en relación con lo que hizo, el bien o el mal*[382]*?* ¿No le oyes decir de nuevo: *Es necesario que este ser mortal se revista de inmortalidad y que este ser corruptible se revista de incorruptibilidad*[383]*?* ¿Qué es mortal, el alma o el cuerpo? Es evidente que el cuerpo, ya que el alma por naturaleza es inmortal; en cambio, el cuerpo, por naturaleza, es mortal[384].

Sin embargo, suprimen muchas cosas de éstas, mas, a partir de lo que queda, descubriremos la relación que existe con lo que ha sido suprimido. Entró el ladrón en el Paraíso, dice. ¿Y qué quiere decir? ¿Acaso no son buenas las cosas que Dios nos promete?

*5.* ¿No escuchas lo que dice Pablo acerca de aquellos bienes?: *Lo que ni el ojo vio, ni el oído oyó, ni al corazón del hombre llegó*[385]*;* en cambio, un ojo, el de Adán, vio el Paraíso, unos oídos oyeron y un corazón de hombre acogió. En efecto, ya conversamos del asunto durante estos días.

Por consiguiente, ¿cómo recibió el ladrón los bienes? Dios no promete conducirnos al Paraíso, sino al mismo cielo, y no predicó el Reino del Paraíso, sino el Reino de los Cielos. *Comenzó* pues, dice, *a predicar y decir: 'Convertíos, porque ha llegado,* no el Reino del Paraíso, sino *el Reino de los Cielos'*[386]. Destruiste el Paraíso y sin

Universidad Pontificia de Salamanca

σον, ἔδωκε δέ σοι ὁ Θεὸς τὸν οὐρανὸν, ἵνα καὶ τὴν οἰκείαν φιλανθρωπίαν ἐπιδείξηται, καὶ τὸν διάβολον δάκῃ, δεικνὺς ὅτι κἂν μυρία τῷ τῶν ἀνθρώπων ἐπιβουλεύσῃ γένει, οὐδὲν ἔσται πλέον αὐτῷ, τοῦ Θεοῦ πρὸς μείζονα ἀεὶ τιμὴν ἡμᾶς ἀνάγοντος. Ἀπώλεσας τοίνυν παράδεισον, καὶ ἀνέῳξέ σοι ὁ Θεὸς τὸν οὐρανόν· κατεδικάσθης πόνῳ προσκαίρῳ, καὶ ἐτιμήθης ζωῇ αἰωνίῳ. Ἐκέλευσε τῇ γῇ ἀκάνθας καὶ τριβόλους ἀνενεγκεῖν, καὶ ἐβλάστησέ σοι καρπὸν Πνεύματος ἡ ψυχή. Ὁρᾷς πῶς μείζων ἡ εὐπορία τῆς ζημίας; πῶς πλείων ὁ πλοῦτος; Οἷόν τι λέγω· ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον ἀπὸ γῆς καὶ ὕδατος, καὶ ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ. Οὐκ ἐγένετο χρήσιμος ὁ πλασθεὶς, ἀλλὰ διεστράφη. Οὐκέτι λοιπὸν ἀπὸ γῆς καὶ ὕδατος αὐτὸν ἀναπλάττει, ἀλλ' ἐξ ὕδατος καὶ Πνεύματος· καὶ οὐκ ἔτι παράδεισον ἐπαγγέλλεται πρὸς αὐτὸν, ἀλλὰ βασιλείαν οὐρανῶν. Καὶ ὅπως, ἄκουε. Νικοδήμου γὰρ τοῦ ἄρχοντος τῶν Ἰουδαίων καταπεσόντος, καὶ τὴν ἐνταῦθα γέννησιν ἐπιζητοῦντος καὶ λέγοντος, ἀδύνατον εἶναι γέροντα γεννηθῆναι ἄνωθεν, ὅρα πῶς ὁ Χριστὸς σαφέστερον αὐτῷ ἀποκαλύπτει τῆς γεννήσεως τὸν τρόπον. Ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος, οὐ **[615]** δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν Εἰ τοίνυν βασιλείαν οὐρανῶν ἐπηγγείλατο, εἰς παράδεισον δὲ εἰσήγαγε τὸν λῃστὴν, οὐδέπω ἀπέδωκεν αὐτῷ τὰ ἀγαθά.

Ἀλλ' ἕτερόν τι πρὸς τοῦτο λέγουσι. Τὸν παράδεισον, φασὶν, ἐνταῦθα, οὐ τὸν παράδεισον εἶπεν, ἀλλὰ τῷ τοῦ παραδείσου ὀνόματι τὴν βασιλείαν τῶν οὐρανῶν ὠνόμασεν. Ἐπειδὴ γὰρ πρὸς λῃστὴν διελέγετο, ἄνθρωπον οὐδὲν ἀκηκοότα τῶν ὑψηλῶν δογμάτων, οὐδὲ εἰδότα περὶ προφητείας, ἀλλὰ πάντα τὸν χρόνον ἐν ἐρημίαις διατρίψαντα, καὶ φόνους ἐργασάμενον, καὶ μηδὲ παρακύψαντά ποτε εἰς ἐκκλησίαν, μήτε μετασχόντα θείας ἀκροάσεως, μὴ εἰδότα τί ποτέ ἐστι βασιλεία τῶν οὐρανῶν, τοῦτο ἔλεγε· Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ· τῷ γνωριμωτέρῳ καὶ συνηθεστέρῳ ὀνόματι τοῦ παραδείσου τὴν βασιλείαν τῶν οὐρανῶν δηλοῖ, καὶ περὶ ἐκείνης αὐτῷ διαλέγεται ὁ Χριστός. Δέχομαι. Οὐκοῦν, φησὶν, εἰσῆλθε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Πόθεν δῆλον; Ἐξ ὧν εἶπε, Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. Εἰ δὲ βιαιοτέρα ἡ λύσις αὕτη, τὴν σαφεστέραν ἐπάξομεν. Τί

Universidad Pontificia de Salamanca

embargo, Dios te dio el Cielo, para demostrar también su particular benignidad y herir al diablo, demostrando que, aunque tendiera innumerables asechanzas contra la raza humana, no conseguiría nada más, ya que Dios siempre nos eleva a un honor mayor.

Pues bien, destruiste el Paraíso y Dios te abrió el cielo; fuiste condenado al trabajo temporal y honrado con la vida eterna. Ordenó a la tierra producir espinas y cardos [387], y el alma hizo germinar para ti el fruto del Espíritu. ¿Ves cómo la abundancia es mayor que el daño? ¿Cómo la riqueza es más grande?

Por ejemplo, Dios formó al hombre con tierra y agua, y le colocó en el Paraíso. Lo que formó no fue bueno, sino que se corrompió: de ningún modo lo rehace con tierra y agua, sino con agua y Espíritu; y no le promete el Paraíso, sino el Reino de los Cielos. Y escucha de qué manera: desalentado Nicodemo [388], el magistrado de los judíos, preocupado por el nacimiento y diciendo que es imposible ser engendrado de nuevo siendo ya viejo, mira cómo Cristo le revela una forma más clara de nacimiento: *El que no sea engendrado de agua y de Espíritu, no* **[615]** *puede entrar en el Reino de los Cielos* [389]. Por lo tanto, si prometió el Reino de los Cielos, pero introdujo al ladrón en el Paraíso, es que todavía no le restituyó los bienes.

### *Qué debe ser entendido con el nombre de 'Paraíso'* [390]

Pero objetan alguna otra cosa con respecto a esto. No se refirió al Paraíso en este punto, dicen, sino que con el nombre de Paraíso designó al Reino de los Cielos.

Puesto que hablaba a un ladrón, a un hombre que no había escuchado los elevados principios, ni conocía la profecía, sino que pasó todo el tiempo en lugares solitarios y cometió asesinatos, y ni siquiera se asomó alguna vez a una iglesia [391], ni participó de la divina obediencia, ni conoció qué es el Reino de los Cielos, decía esto: *Hoy estarás conmigo en el Paraíso* [392]. Con el nombre más conocido y usual de Paraíso le da a entender el Reino de los Cielos y de él le habla Cristo. Estoy de acuerdo. Sin duda, dice, entró al Reino de los Cielos. ¿De dónde se deduce? De lo que dijo: *Hoy estarás conmigo en el Paraíso* [393].

Pero si esta explicación es demasiado forzada, añadiremos una más clara. ¿Cuál? Cristo dijo: *El que no cree en el Hijo, ya fue juz-*

Universidad Pontificia de Salamanca

οὖν ἐστιν αὕτη; Εἶπεν ὁ Χριστὸς, Ὁ μὴ πιστεύων εἰς τὸν Υἱὸν, ἤδη κέκριται. Τί οὖν; ἤδη κέκριται; Καίτοι οὔπω ἀνάστασις, οὔπω κόλασις καὶ τιμωρία· πῶς οὖν ἤδη κέκριται; Ἀπὸ τῆς ἁμαρτίας. Καὶ πάλιν, Ὁ πιστεύων εἰς τὸν Υἱὸν, φησὶ, μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. Καὶ οὐκ εἶπε, μεταβήσεται, ἀλλ', ἤδη μεταβέβηκε· καὶ οὗτος πάλιν ἀπὸ τοῦ κατορθώματος, κἀκεῖνος πάλιν ἀπὸ τοῦ ἁμαρτήματος. Ὥσπερ οὖν ἐκεῖνος κέκριται, μηδέπω κρινόμενος, κἀκεῖνος μεταβέβηκεν εἰς τὴν ζωὴν, μηδέπω μεταβὰς, καὶ πρὸς ἐκεῖνον ἀπὸ τοῦ κατορθώματος, καὶ πρὸς τοῦτον ἀπὸ τοῦ ἁμαρτήματος, ὡς γεγενημένων δὴ πραγμάτων οὔπω γεγενημένων διαλέγεται· οὕτω καὶ πρὸς τὸν λῃστὴν ἔλεγε. Καὶ γὰρ οἱ ἰατροὶ, ἐπειδὰν ἴδωσί τινα ἀπεγνωσμένον, λέγουσιν, ὅτι ἤδη τέθνηκε καὶ νεκρός ἐστι, καίτοι γε ἔτι ἐμπνέοντα βλέποντες. Ἀλλ' ὥσπερ ἐκεῖνος, ἐπειδὴ ἐλπίδα σωτηρίας οὐκ ἔχει, τέθνηκε παρὰ τοῖς ἰατροῖς· οὕτω καὶ ὁ λῃστὴς, ἐπειδὴ προσδοκίαν οὐκέτι εἶχεν ὑποστροφῆς εἰς ἀπώλειαν, εἰσελήλυθεν εἰς τὸν οὐρανόν. Οὕτω καὶ ὁ Ἀδὰμ ἤκουσεν, Ἧ δ' ἂν ἡμέρᾳ φάγητε ἀπὸ τοῦ ξύλου, θανάτῳ ἀποθανεῖσθε. Τί οὖν, αὐτῇ τῇ ἡμέρᾳ ἀπέθανεν; Οὐδαμῶς· ἀλλ' ἔζησεν ἔτη ἐννεακόσια καὶ ἐπέκεινα μετὰ τὴν ἡμέραν ἐκείνην. Πῶς οὖν ἔλεγεν ὁ Θεὸς, ὅτι Τῇ αὐτῇ ἡμέρᾳ ἀποθανεῖσθε; Τῇ ἀποφάσει, οὐ τῇ πείρᾳ. Οὕτω καὶ ὁ λῃστὴς εἰσῆλθεν εἰς τὸν οὐρανόν. Ἄκουσον γοῦν τί φησιν ὁ Παῦλος, δηλῶν ὅτι οὐδεὶς οὐδέπω τῶν ἀγαθῶν ἀπέλαβε τὴν ἀντίδοσιν· περὶ γὰρ τῶν προφητῶν καὶ τῶν δικαίων διαλεγόμενος ἐπήγαγε· Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες μὴ κομισάμενοι τὰς ἐπαγγελίας, ἀλλὰ πόῤῥωθεν εἰδότες αὐτὰς καὶ ἀσπασάμενοι, τοῦ Θεοῦ κρεῖσσόν τι περὶ ἡμῶν προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι. Ταῦτα κατέχετε, καὶ μέμνησθε, καὶ τοὺς οὐκ ἀκηκοότας διδάσκετε· ταῦτα καὶ ἐν ἐκκλησίᾳ, καὶ ἐν ἀγορᾷ, καὶ ἐν οἰκίᾳ μελετάτω ἕκαστος. Οὐδὲν γὰρ ἡδύτερον ἀκροάσεως θείας. Ἄκουσον γοῦν τί φησι περὶ ταύ- **[616]** της ὁ Προφήτης· Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι καὶ κηρίον τῷ στόματί μου. Τοῦτο τοίνυν παρατίθει τὸ κηρίον ἐπὶ τῆς τραπέζης τῆς ἑσπερινῆς, ὥστε πᾶσαν αὐτὴν ἡδονῆς πληρῶσαι πνευματικῆς. Οὐχ ὁρᾶτε τοὺς εὐπόρους τῶν ἀνθρώπων, πῶς μετὰ τὰ σιτία κιθαρῳδοὺς καὶ αὐλητὰς ἐπεισάγουσι; Θέατρον ἐκεῖνοι ποιοῦσι τὴν

Universidad Pontificia de Salamanca

*gado*[394]. Por lo tanto, ¿cómo?, ¿ya ha sido juzgado? Sin embargo, si aún no hay resurrección, si aún no hay castigo ni pena, ¿cómo es que ya ha sido juzgado? A causa del pecado.

Y de nuevo: *El que cree en el Hijo,* dice, *ha pasado de la muerte a la vida*[395]. Y no dijo «pasará», sino, ya «ha pasado»; y de nuevo éste, a causa de la buena acción, y aquél por la falta.

Así pues, de la misma manera que aquél ha sido juzgado, y nunca fue juzgado, y aquél otro ha pasado a la vida y nunca hubo pasado, tanto de aquél por la buena acción como de éste por el pecado se habla como si ya hubieran sucedido los hechos, y nunca sucedieron. De la misma manera también le hablaba al ladrón.

Pues así también los médicos, cuando ven a alguien desahuciado, dicen que ya ha muerto y que es un cadáver, aunque vean que todavía respira. Y de la misma manera que aquél ha muerto según los médicos, puesto que no le queda ninguna esperanza de salvación, así también el ladrón ha entrado al Cielo, puesto que de ningún modo tenía esperanza de retroceso hacia la perdición.

Así también Adán escuchó: *Porque el día en que comáis del árbol, moriréis*[396]. ¿Y qué? ¿Murió ese mismo día? De ningún modo, sino que después de aquel día vivió otros novecientos años más. Entonces, ¿por qué decía Dios «ese mismo día moriréis»? Como sentencia, no como experiencia[397]. Así también entró el ladrón en el Paraíso.

Ciertamente, escucha qué dice Pablo al declarar que nadie recibió todavía la recompensa de los bienes, pues al hablar de los profetas y de los justos, añadió: *En la fe murieron todos sin recibir promesas, pero viéndolas de lejos y saludándolas*[398], *[...] Dios dispuso algo mejor sobre nosotros, para que sin nosotros no llegasen ellos a la perfección*[399].

Retened esto[400], recordadlo y enseñad[401] a los que no escucharon; y que cada uno se preocupe de ello en la iglesia, en el ágora y en casa[402]. Pues no hay nada más grato que atender[403] a la palabra de Dios. Así pues, escucha qué dice sobre **[616]** esto el profeta: *¡Cuán dulces son a mi paladar tus palabras, más que la miel y el panal para mi boca!*[404]. Por consiguiente, sirve este panal en la mesa vespertina, de manera que toda ella esté llena de placer espiritual. ¿No veis a los hombres ricos cómo después de los alimentos admiten a citaristas y flautistas? Aquéllos hacen de su casa un lugar de

Universidad Pontificia de Salamanca

ἑαυτῶν οἰκίαν σὺ ποίησον τὴν οἰκίαν τὴν σὴν οὐρανόν· ποιήσεις δὲ, οὐχὶ τοὺς τοίχους ἀμείβων, οὐδὲ μεταλλάττων τὰ θεμέλια, ἀλλ' αὐτὸν τὸν τῶν οὐρανῶν Δεσπότην ἐπὶ τὴν τράπεζαν καλῶν τὴν σήν. Οὐκ ἐπαισχύνεται τὰ τοιαῦτα δεῖπνα ὁ Θεός. Ἔνθα γὰρ διδασκαλία πνευματικὴ, ἐκεῖ καὶ σωφροσύνη, καὶ σεμνότης, καὶ ἐπιείκεια· ἔνθα ἀνὴρ καὶ γυνὴ καὶ παιδία, καὶ ὁμόνοια καὶ φιλία, καὶ τοῖς τῆς ἀρετῆς συνδεδεμένοι δεσμοῖς, ἐκεῖ μέσος ὁ Χριστός. Οὐ γὰρ χρυσοῦν ὄροφον ζητεῖ, οὐδὲ ἀστραπὰς κιόνων, οὐδὲ κάλλη μαρμάρων, ἀλλὰ ψυχῆς ὥραν, καὶ διανοίας εὐμορφίαν, καὶ τράπεζαν δικαιοσύνης γέμουσαν καὶ ἐλεημοσύνης καρποὺς ἔχουσαν. Κἂν ἴδῃ τοιαύτην τράπεζαν, ταχέως κοινωνεῖ τοῦ συλλόγου, καὶ παραγίνεται. Καὶ γὰρ αὐτός ἐστιν ὁ εἰρηκώς· Πεινῶντά με εἴδετε, καὶ ἐθρέψατε. Ὅταν οὖν ἀκούσῃς πένητος κάτωθεν μεγάλα βοῶντος, εἶτα ἀπὸ τῆς τραπέζης τῶν προκειμένων δῷς τι τῷ δεομένῳ, τὸν Δεσπότην ἐκάλεσας διὰ τοῦ δούλου πρὸς τὴν τράπεζαν τὴν σὴν, πᾶσαν αὐτὴν εὐλογιῶν ἐνέπλησας, καὶ διὰ τῆς ἀπαρχῆς ἀφορπολλῶν παρεσκεύασας. Ὁ δὲ Θεὸς τῆς εἰρήνης, ὁ διδοὺς ἄρτον εἰς βρῶσιν, καὶ σπέρμα τῷ σπείροντι, πληθύνοι τὸν σπόρον ὑμῶν, καὶ αὐξήσειε τὰ γεννήματα τῆς δικαιοσύνης ἐν πᾶσιν ὑμῖν, τὴν παρ' αὐτοῦ χάριν διδοὺς, καὶ καταξιώσειε τῆς βασιλείας τῶν οὐρανῶν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ δόξα τῷ Πατρὶ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Universidad Pontificia de Salamanca

espectáculo; en cambio tú, haz de tu casa un Cielo[405]. Lo harás, sin embargo, sin necesidad de cambiar las vigas de las paredes, ni los cimientos, sino llamando al Señor mismo de los Cielos a tu mesa. Dios no se avergüenza de tales comidas. Pues donde hay enseñanza espiritual, allí también existe templanza, dignidad y equidad; donde hay un hombre, una mujer y unos hijos, allí también concordia y amistad; y en medio de los que fueron presos con las cadenas de la virtud, allí se halla Cristo. Pues no busca un techo dorado, ni resplandores de columnas, ni la belleza de los mármoles, sino cuidado del alma y hermosura de mente[406], una mesa repleta de justicia y con frutos de limosna. Y si ve una mesa semejante, rápidamente participa de la reunión y asiste a ella.

En efecto, Él mismo es el que ha dicho: *Me visteis hambriento y me alimentasteis*[407]. Siempre que escuchaste al pobre gritando fuertemente desde abajo, y a continuación le diste al necesitado algo de la mesa que estaba puesta, llamaste al Señor a tu mesa por medio del esclavo, llenaste toda ésta de bendiciones y con las primicias preparaste una gran ocasión para incrementar tus despensas con muchos bienes.

Ojalá que el Dios de la paz, el que da pan para comer y simiente al que siembra, multiplique vuestra cosecha y acreciente en todos vosotros los frutos de la justicia, dandoos su gracia, y os considere dignos del Reino de los Cielos[408].

Suceda que todos nosotros lo alcancemos, por la gracia y la benignidad de nuestro Señor Jesucristo, por Él y con Él, gloria al Padre, al Espíritu Santo, ahora y siempre, por los siglos de los siglos. Amén.

Universidad Pontificia de Salamanca

## ΛΟΓΟΣ Η'·

Εἰς τὴν ἡμέραν χειμέριον οὖσαν, καὶ εἰς τὴν σύνοδον τῶν ἐπισκόπων, καὶ εἰς τὴν δόσιν τῆς ἐντολῆς πρὸς τὸν Ἀδὰμ, καὶ ὅτι πολλῆς κηδεμονίας τὸν νόμον λαβεῖν.

α'. Ἡ μὲν τῶν νεφῶν συνδρομὴ τὴν ἡμέραν ἡμῖν κατηφεστέραν ἐποίησεν· ἡ δὲ παρουσία τοῦ διδασκάλου φαιδροτέραν αὐτὴν εἰργάσατο. Οὐ γὰρ οὕτως ἥλιος ἐκ μέσης τῶν οὐρανῶν τῆς κορυφῆς τὰς ἀκτῖνας ἀφιεὶς, καταλάμπει τὰ σώματα, ὡς ὄψις πατρικῆς φιλοστοργίας ἀκτῖνας ἀφιεῖσα ἐκ μέσου τοῦ θρόνου, καταυγάζει τὰς ἡμετέρας ψυχάς. Ὅπερ οὖν καὶ αὐτὸς συνιδὼν, οὐχὶ μόνος ἡμῖν παραγέγονεν, ἀλλὰ καὶ φωστήρων χορὸν ἔχων ἦλθε μεθ' ἑαυτοῦ, ὥστε πλέον γενέσθαι τὸ φῶς. Διὸ καὶ ἡ ἐκκλησία ἡμῖν ἀγάλλεται, καὶ σκιρτᾷ τὰ ποίμνια, καὶ ἡμεῖς μετὰ πλείονος προθυμίας τῶν λόγων ἁπτόμεθα. Ὅπου γὰρ συνδρομὴ ποιμένων, ἐκεῖ καὶ προβάτων ἀσφάλεια. Οὕτω καὶ ναῦται χαίρουσι, κυβερνητῶν αὐτοῖς παρόντων πολλῶν· καὶ γὰρ γαλήνης οὔσης καὶ νηνεμίας, τὸν τῆς κωπηλασίας πόνον αὐτοῖς ἐπικουφίζουσι διὰ τῶν οἰάκων· καὶ τῆς θαλάσσης στασιαζούσης, τῇ τέχνῃ καὶ τῇ πολυχειρίᾳ τὴν τῶν ὑδάτων καταστέλλουσι μάχην. Διὰ τοῦτο καὶ ἡμεῖς θαῤῥοῦντες, τὸν λόγον **[617]** εἰς διδασκαλίαν προτείνομεν, ταῖς εὐχαῖς αὐτῶν τὸ πᾶν ἐπιῤῥίψαντες. Ὥστε δὲ εὐμαθεστέραν καὶ σαφεστέραν ὑμῖν γενέσθαι τὴν ἀκρόασιν, καὶ τῶν χθὲς ὑμῖν εἰρημένων ἀναμνήσωμεν ἐν βραχεῖ. Εἶπον ὅτι πρὸ τῆς τοῦ ξύλου βρώσεως ᾔδει τὸ καλὸν καὶ τὸ πονηρὸν ὁ ἄνθρωπος, καὶ ὅτι οὐ μετὰ τὴν γεῦσιν ταύτην ἔλαβε τὴν γνῶσιν. Εἶπον τίνος ἕνεκεν ξύλον γνωστὸν καλοῦ καὶ πονηροῦ ἐλέγετο, καὶ πῶς ἔθος τῇ Γραφῇ, ἐπειδάν τι πρᾶγμα συμβῇ περὶ τόπον ἢ καιρὸν, ἀπὸ τοῦ πράγματος ὀνομάζειν καὶ τὸν τόπον καὶ τὸν καιρόν. Σήμερον ἀναγκαῖον αὐτὴν ἀναγνῶναι τὴν ἐντολὴν, δι' ἧς ἐκώλυσε τοῦ ξύλου τὴν βρῶσιν. Τίς οὖν ἐστιν αὕτη; Καὶ ἐνετείλατο Κύριος ὁ Θεὸς τῷ Ἀδὰμ, λέγων· Ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φάγῃ. Θεῖος ὁ νόμος, ἀλλὰ προσέχωμεν. Εἰ γὰρ βασιλικὰ ἀναγινώσκοντες γράμματα ἄνθρωποι, ὁλόκληρον ἀνιστῶσι θέατρον· πολλῷ μᾶλλον ἡμᾶς οὐκ ἀνθρώπων, ἀλλὰ

Universidad Pontificia de Salamanca

## SERMÓN OCTAVO

*Sobre un día invernal, y sobre una reunión de obispos; de cómo le fue entregado el mandato a Adán, y cómo recibió la ley con gran prudencia.*

*1.* Ciertamente, el encuentro con las nubes nos hizo el día más triste; en cambio, la llegada del maestro[409] nos lo hizo más gozoso. Pues de la misma manera que el sol, cuando emite rayos desde la cumbre en medio de los cielos, ilumina nuestros cuerpos, así el rostro paterno de la caridad, emitiendo rayos desde de su trono, deslumbra nuestras almas. Y por consiguiente, al haberlo comprendido él mismo, no llegó sólo a nosotros, sino que vino acompañado de un grupo de astros, de tal modo que la luz brilló aún más[410].

Por lo que también la Iglesia se vanagloria[411] de nosotros y se regocijan los rebaños, y nosotros nos disponemos al sermón con más deseo. Pues donde hay reunión de pastores, allí también seguramente hay ovejas. Así también los marineros[412] se alegran cuando tienen a su disposición muchos comandantes. Puesto que cuando hay bonanza de mar y ausencia de viento, por medio de los timones les disminuye el esfuerzo de remar, pero cuando el mar se agita, mediante la técnica y la multitud de brazos[413] calman la batalla de las aguas. Por esto también nosotros exponemos confiados el sermón **[617]** para la enseñanza, entregando todo a sus preces.

Y para que lo que escuchéis os llegue a ser más fácil y más claro, os recordaremos en breves palabras lo que se os dijo ayer[414]. Dije que el hombre, antes de comer del árbol, sabía qué era el bien y qué era el mal, y que no obtuvo el conocimiento después de la prueba. Dije por qué motivo era llamado árbol de la ciencia del bien y del mal, y cómo era costumbre en la Escritura, cuando acontecía algún hecho acerca de un lugar o un tiempo, nombrar por el hecho no sólo el lugar, sino también el tiempo.

Hoy es necesario conocer este mandato, por el cual prohibió comer del árbol. Así pues, ¿qué mandato es éste? *Y Dios ordenó a Adán, diciéndole: 'De todo árbol del Paraíso puedes comer'*[415]. Divina es la ley, pero atendamos. Pues si los hombres, cuando leen cartas regias, despiertan a todo el público, mucho más necesario es que nosotros, que tenemos la intención de leer no las leyes de los

Universidad Pontificia de Salamanca

Θεοῦ νόμους ἀναγινώσκειν μέλλοντας διανίστασθαι χρὴ τῇ διανοίᾳ, καὶ προσέχειν τοῖς λεγομένοις.

Οἶδα ὅτι κατηγοροῦσί τινες τοῦ νομοθέτου, καὶ τὸν νόμον αἴτιον εἶναί φασι τοῦ παραπτώματος. Πρὸς τοῦτο οὖν ἀνάγκη στῆναι πρότερον, καὶ δεῖξαι διὰ τῶν πραγμάτων αὐτῶν, ὅτι οὐχὶ μισῶν τὸν ἄνθρωπον, οὐδὲ ὑβρίσαι βουλόμενος τὴν φύσιν τὴν ἡμετέραν, ἀλλὰ φιλῶν καὶ κηδόμενος, τὸν νόμον ἔδωκεν. Ὅτι γὰρ εἰς συμμαχίαν ἡμῖν αὐτὸν ἔδωκεν, ἄκουσον τί φησιν Ἡσαΐας· Νόμον γὰρ εἰς βοήθειαν ἔδωκεν. Ὁ δὲ μισῶν, οὐ βοηθεῖ. Πάλιν ὁ Προφήτης βοᾷ· Λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου. Ὁ δὲ μισῶν, οὐ λύει τὸ σκότος διὰ τοῦ λύχνου, οὐδὲ ὁδηγεῖ μετὰ φωτὸς τὸν πεπλανημένον. Πάλιν ὁ Σολομών· Λύχνος ἐντολὴ νόμου, καὶ φῶς, καὶ ζωὴ, καὶ ἔλεγχος καὶ παιδεία. Ἰδοὺ οὐχὶ βοήθεια μόνον, οὐδὲ λύχνος μόνον, ἀλλὰ καὶ φῶς καὶ ζωή· ταῦτα δὲ οὐκ ἔστι μισοῦντος, οὐδὲ ἀπολέσαι βουλομένου, ἀλλὰ χεῖρα ὀρέγοντος καὶ διανιστῶντος. Διὰ τοῦτο καὶ ὁ Παῦλος πρὸς τὸν Ἰουδαῖον ἀποτεινόμενος, καὶ δεικνὺς ὅσον εἰσήνεγκε κέρδος ὁ νόμος, καὶ ὅτι ἀνάπαυσις, οὐ βάρησις τῆς φύσεως ἡμῶν ἐστιν, ἔλεγεν· Ἴδε σὺ Ἰουδαῖος ἐπονομάζῃ, καὶ ἐπαναπαύῃ τῷ νόμῳ. Ὁρᾷς ὅτι οὐχὶ βαρῶν ἡμῶν τὴν φύσιν, ἀλλ' ἀναπαύων, τὸν νόμον ἔδωκεν ὁ Θεός; Βούλει μαθεῖν ὅτι καὶ τιμῶν; Μάλιστα μὲν οὖν καὶ ταῦτα ἱκανὰ δεῖξαι τὴν τιμὴν καὶ τὴν κηδεμονίαν, πλὴν καὶ ἀφ' ἑτέρων μαρτυριῶν αὐτὸ τοῦτο ποιήσομαι φανερόν. Ἐπαίνει, φησὶν, Ἱερουσαλὴμ, τὸν Κύριον· αἴνει τὸν Θεόν σου, Σιών· ὅτι ἐνίσχυσε τοὺς μοχλοὺς τῶν πυλῶν σου, εὐλόγησε τοὺς υἱούς σου ἐν σοι· ὁ τιθεὶς τὰ ὅριά σου εἰρήνην, καὶ στέαρ πυροῦ ἐμπιπλῶν σε. Εἶτα εἰπὼν καὶ τὴν διὰ τῆς ἄλλης κτίσεως εὐεργεσίαν παρὰ τοῦ Θεοῦ χορηγουμένην, ἐπήγαγε τὴν ἐξαίρετον καὶ μείζονα, οὑτωσὶ λέγων· Ὁ ἀποστέλλων τὸν λόγον αὐτοῦ τῷ Ἰακὼβ, δικαιώματα καὶ κρίματα αὐτοῦ τῷ Ἰσραήλ. Οὐκ ἐποίησεν οὕτω παντὶ ἔθνει, καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς. Ὅρα πόσα κατέλεξεν ἀγαθά. Ἀσφάλειαν πόλεως. Ἐνίσχυσε γὰρ, φησὶ, τοὺς μοχλοὺς τῶν πυλῶν σου· ἀπαλλαγὴν πολέμων· Ὁ τιθεὶσ γὰρ, φησὶ, τὰ ὅριά σου εἰρήνην· **[618]** ἀφθονίαν τῶν ἀναγκαίων· Καὶ στέαρ πυροῦ ἐμ-

Universidad Pontificia de Salamanca

hombres, sino las leyes de Dios, levantemos el pensamiento y atendamos a lo que se dice.

*Si la ley es causa de pecado*[416]

Sé que algunos acusan con ahínco al legislador y dicen que la ley es causa de falta. Por consiguiente es necesario, en primer lugar, oponerse a esto y demostrar por medio de los hechos que no odiaba al hombre, ni quería tratar insolentemente a nuestra naturaleza, sino que dio la ley porque nos amaba y se inquietaba por nosotros.

Pues porque nos la dio para alianza, escucha qué dice Isaías: *Ciertamente dio la ley para ayuda*[417]. Pero el que odia no ayuda. De nuevo clama el profeta: *Antorcha para mis pies es tu ley y luz para mis senderos*[418]. Y además el que odia no desvanece las tinieblas con la antorcha, ni guía con luz al que anda errante. De nuevo dice Salomón: *El mandato de la ley es una lámpara, es luz, es vida, es demostración e instrucción*[419]. He aquí que no sólo es ayuda, ni solamente lámpara, sino también luz y vida; pero todo esto no es propio del que odia, ni del que quiere destruir, sino del que extiende las manos y del que se levanta.

También por esto Pablo ataca al judío, y demostrando cuánto provecho introdujo la ley, porque ésta es descanso y no una carga para nuestra naturaleza, decía: *He aquí tú, que te dices judío y descansas en la ley*[420]. ¿Ves cómo, no siendo una carga para nuestra naturaleza, sino aliviándola, Dios nos dio la ley? ¿Quieres también saber de honores? Ciertamente, también estas palabras podían mostrar suficientemente el honor y la protección, pero a pesar de ello, lo haré manifiesto por medio de otros testimonios.

*¡Ensalza,* dice, *Jerusalén, al Señor: alaba a tu Dios, Sión*[421]*! Que él reforzó los cerrojos de tus puertas, bendijo en ti a tus hijos; él pone paz en tus fronteras y te sacia con la flor del trigo*[422]. A continuación, hablando del favor que Dios suministró por medio de otra criatura, añadió lo extraordinario y lo más importante, cuando dice de este modo: *Él envía a Jacob su palabra, sus preceptos y sus juicios a Israel. No hizo tal a ninguna nación y sus juicios no les manifestó*[423]. Mira cuántos bienes enumeró: la seguridad de la ciudad, pues dice: *Reforzó los cerrojos de tus puertas*[424]; la defensa de las guerras, pues dice: *Él pone paz en tus fronteras*[425]; **[618]** la abundancia de víveres necesarios: *Te sacia con la flor del trigo*[426].

Universidad Pontificia de Salamanca

πιπλῶν σε. Ἀλλ' ὅμως πάντων τούτων τὴν τοῦ νόμου δόσιν τιμιωτέραν ἀπέφηνεν. Ὅτι γὰρ καὶ ἀσφαλείας, καὶ εἰρήνης, καὶ ἀπαλλαγῆς πολέμων, καὶ εὐπαιδίας, καὶ πολυπαιδίας, καὶ τῆς τῶν ἀναγκαίων ἀφθονίας πολλῷ μεῖζον δῶρόν ἐστι τὸ νόμον λαβεῖν, καὶ τὰ δικαιώματα τοῦ Θεοῦ μαθεῖν, πάντων ὕστερον αὐτὸ θεὶς ὡς κεφάλαιον καὶ σύνδεσμον τῶν ἀγαθῶν, ἐπήγαγε λέγων· Οὐκ ἐποίησεν οὕτω παντὶ ἔθνει. Οὕτω, πῶς; Καὶ μὴν καὶ ἀφθονίας, καὶ τῶν ἄλλων τῶν ἀπηριθμημένων πολλοὶ πολλάκις ἀπέλαυσαν, Ἀλλ' οὐ περὶ τῶν προειρημένων λέγω, φησὶν, ἀλλὰ περὶ τοῦ νόμου, ὅτι Οὐκ ἐποίησεν οὕτω παντὶ ἔθνει. Καὶ διὰ τοῦτο ἐπήγαγε· Καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς. Ὁρᾷς πῶς τῶν ἀπηριθμημένων ἁπάντων ἀγαθῶν μεῖζον ὁ νόμος.

β'. Τοῦτο καὶ Ἱερεμίας ἐνέφηνε· τοὺς γὰρ ἐν αἰχμαλωσίᾳ ὄντας θρηνῶν, ἔλεγε, Τί ὅτι ἐν τῇ γῇ τῶν ἐχθρῶν εἶ; Τὴν πηγὴν τῆς σοφίας ἐγκατέλιπες, τὸν νόμον λέγων. Καθάπερ ἡ πηγὴ πολλοὺς πανταχόθεν ἀφίησι ῥύακας, οὕτω καὶ ὁ νόμος πολλὰς πανταχόθεν ἀφίησι τὰς ἐντολὰς, ἄρδων ἡμῶν τὴν ψυχήν. Εἶτα δηλῶν τὸ ἐξαίρετον τῆς τιμῆς τῆς διὰ τοῦ νόμου γενομένης, ἔλεγεν· Οὐκ ἠκούσθη ἐν Χαναὰν αὕτη ἡ σοφία, οὐδὲ ὤφθη ἐν Θαιμὰν, οὐδὲ υἱοὶ Ἄγαρ, οἱ ἔμποροι, καὶ οἱ ἐκζητηταὶ ἔγνωσαν τὰς ὁδοὺς αὐτῆς, οὐδὲ ἐμνήσθησαν τῶν τρίβων αὐτῆς. Καὶ δεικνὺς ὅτι πνευματική τίς ἐστι καὶ θεία, Τίς ἀνέβη, φησὶν, εἰς τὸν οὐρανὸν, καὶ κατεβίβασεν αὐτήν; Εἶτα ἐπήγαγεν· Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. Ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ. Διὰ τοῦτο καὶ ὁ Δαυὶδ ἔλεγεν· Οὐκ ἐποίησεν οὕτω παντὶ ἔθνει, καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς. Τοῦτο γοῦν καὶ Παῦλος αἰνιττόμενος ἔγραφε· Τί οὖν τὸ περισσὸν τοῦ Ἰουδαίου; ἢ τίς ἡ ὠφέλεια τῆς περιτομῆς; Πολὺ κατὰ πάντα τρόπον. Πρῶτον μὲν γὰρ ὅτι ἐπιστεύθησαν τὰ λόγια τοῦ Θεοῦ. Ὁρᾷς πῶς καὶ οὗτος ἡρμήνευσε τὸ, Οὐκ ἐποίησεν οὕτω παντὶ ἔθνει, καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς; Εἰ γὰρ τὸ περισσὸν τοῦ Ἰουδαίου τοῦτό ἐστιν, ὅτι αὐτοὶ μόνοι τῶν ἄλλων

Universidad Pontificia de Salamanca

Sin embargo, al mismo tiempo demostró que era más precioso el don de la ley que todas estas cosas. Y puesto que también es mucho mejor haber recibido la ley como don que la seguridad, la paz, la defensa de las guerras, la fecundidad y multitud de hijos, la abundancia de los víveres necesarios, y es mucho mejor haber aprendido los preceptos de Dios, al colocarlos lo último de todo, como fundamento y unión de los bienes, agregó diciendo: *No hizo tal a ninguna nación*[427]. *Tal,* ¿cómo?

Y además también muchos de nosotros, frecuentemente[428], nos apartamos de la abundancia y de los otros bienes que fueron enumerados. Pero no hablo de los que fueron mencionados antes, sino de la ley, pues dice: *No hizo tal a ninguna nación*[429]. Y por esto añadió: *Y sus juicios no les manifestó*[430]. ¿Ves cómo de todos los bienes que fueron enumerados la ley es el mejor?

*2.* Esto mismo manifestó Jeremías, pues lamentándose a los que estaban en cautividad, decía: *¿Por qué estás en país de enemigos?*[431]. *Abandonaste la fuente de la sabiduría*[432], llamando así a la ley. Igual que la fuente, por todos lados, desprende muchos torrentes, así también la ley, por todos lados, envía muchos mandatos regando nuestra alma[433].

A continuación, demostrando lo extraordinario de la dignidad que nos fue entregada por medio de la ley, decía: *No fue conocida esta sabiduría en Canaán, ni fue vista en Temán, ni los hijos de Agar, los mercaderes y los buscadores conocieron sus caminos y no fueron recordadas sus sendas*[434]. Y mostrando que es espiritual y divina, dice: *¿Quién subió al cielo y la hizo descender?*[435].

A continuación añadió: *Éste es nuestro Dios, no será considerado ningún otro con relación a éste. Él conoce todo camino de sabiduría y se la comunicó a Jacob, su siervo, y a Israel, su amado*[436]. Por esto, también decía David: *No hizo tal con ninguna nación y sus juicios no les manifestó*[437].

Ciertamente, también Pablo, insinuándolo, escribía: *¿En qué, pues, aventaja el judío?, ¿o cuál es el provecho de la circuncisión? Mucho en todos los aspectos. Porque primeramente les fue confiada la palabra de Dios*[438]. ¿Ves cómo también éste lo expuso: *No hizo tal con ninguna nación y sus juicios no les manifestó*[439]*?* Pues si ésta es la ventaja del judío, ya que solamente ellos de entre el resto de los

Universidad Pontificia de Salamanca

ἀνθρώπων ἐτιμήθησαν τῇ δόσει τοῦ γραπτοῦ νόμου, οὐκ ἄρα βαρῶν ἡμῶν τὴν φύσιν, ἀλλὰ τιμῶν, τὸν νόμον ἔδωκεν ὁ Θεός. Καὶ οὐ τούτῳ μόνον ἐτίμησε, τῷ δοῦναι τὸν νόμον, ἀλλὰ καὶ τῷ δι' ἑαυτοῦ δοῦναι· καὶ γὰρ καὶ τοῦτο μέγιστον εἶδος τιμῆς, τὸ μὴ μόνον παρασχεῖν. Ὅτι γὰρ μέγα τοῦτό ἐστι τὸ δῶρον, ἄκουσον καὶ τοῦ Παύλου τοῦτο ἐνδεικνυμένου. Ὁρῶν γὰρ τοὺς Ἰουδαίους πεφυσιωμένους ἐν τῷ τοὺς προφήτας πρὸς αὐτοὺς ἐλθεῖν, καὶ καταστέλλων αὐτῶν τὸ φρόνημα, δεικνὺς ὅτι μείζονος ἡμεῖς ἀπηλαύσαμεν τῆς τιμῆς, οὐ διὰ δούλου, ἀλλὰ διὰ Δεσπότου τῆς διδασκαλίας τυχόντες, οὑτωσί πώς φησι πρὸς Ἑβραίους γράφων· Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἡμῶν, ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐλάλησεν ἡμῖν ἐν Υἱῷ. Καὶ πάλιν ἀλλαχοῦ· Οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμενοι ἐν τῷ Θεῷ διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ τὴν καταλλαγὴν ἐλάβομεν. Ὁρᾷς αὐτὸν οὐκ ἐπὶ τῇ κα- **[619]** ταλλαγῇ καυχώμενον μόνον, ἀλλὰ καὶ ἐπὶ τῷ διὰ τοῦ Χριστοῦ λαβεῖν τὴν καταλλαγήν; Καὶ πάλιν τὴν ἀνάστασιν σεμνύνων, φησίν· Αὐτὸς ὁ Κύριος καταβήσεται ἐξ οὐρανοῦ. Ὅρα κἀκεῖ διὰ τοῦ Δεσπότου τὸ πᾶν γινόμενον· καὶ ἐνταῦθα οὐ δι' οἰκέτου τινὸς, οὐ δι' ἀγγέλου καὶ ἀρχαγγέλου, ἀλλ' αὐτὸς δι' ἑαυτοῦ ἐνετείλατο τῷ Ἀδὰμ, διπλῇ τιμῇ τὸν ἄνθρωπον τιμῶν, καὶ τῷ δοῦναι τὸν νόμον, καὶ τῷ δι' ἑαυτοῦ δοῦναι. Πῶς οὖν ὠλίσθησεν ἐκεῖνος; Παρὰ τὴν ἑαυτοῦ ῥᾳθυμίαν· καὶ δηλοῦσιν ὅσοι νόμον ἔλαβον, καὶ οὐκ ὤλισθον, ἀλλὰ καὶ πλείω τῶν ἐπιτεταγμένων ἐποίησαν. Ἀλλ' ἐπειδὴ τὸν καιρὸν ἡμᾶς ὁρῶ συνελαύνοντα τοῦτον, εἰς ἑτέραν διάλεξιν ἀναβαλοῦμαι τὸν λόγον· ὑμεῖς δὲ τὰ εἰρημένα τέως φυλάττετε, καὶ μέμνησθε, καὶ τοὺς οὐκ ἀκηκοότας διδάσκετε, καὶ ταῦτα καὶ ἐν ἐκκλησίᾳ, καὶ ἐν ἀγορᾷ, καὶ ἐν οἰκίᾳ μελετάτω ἕκαστος. Οὐδὲν γὰρ ἡδύτερον ἀκροάσεως θείας. Ἄκουσον γοῦν τί φησι περὶ ταύτης ὁ Προφήτης, Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι καὶ κηρίον τῷ στόματί μου. Τοῦτο τοίνυν παρατίθει τὸ κηρίον ἐπὶ τῆς τραπέζης τῆς ἑσπερινῆς, ὥστε πᾶσαν αὐτὴν ἡδονῆς πληρῶσαι πνευματικῆς. Οὐχ ὁρᾶτε τοὺς εὐπόρους τῶν ἀνθρώπων, πῶς μετὰ τὰ σιτία κιθαρῳδοὺς καὶ αὐλητὰς ἐπεισάγουσι; Θέατρον ἐκεῖνοι ποιοῦσι τὴν ἑαυτῶν οἰκίαν· σὺ ποίησον τὴν οἰκίαν

Universidad Pontificia de Salamanca

hombres fueron honrados con el don de la ley escrita, Dios nos dio la ley, no con ello agravando nuestra naturaleza, sino honrándola. Y no sólo nos honró por esto, por habernos dado la ley, sino también por habérnosla dado por Él mismo; pues esta clase de honor es la más importante, ya que no la ofreció sola[440].

Evidentemente esto es un gran don. Escucha de qué modo lo manifestó también Pablo. Pues viendo a los judíos engreídos por el hecho de que los profetas se acercaban a ellos, y para calmar su arrogancia y mostrar que nosotros adquirimos[441] el mejor honor, recibido no por el esclavo, sino por la enseñanza del Señor, poco más o menos dice así, escribiendo a los Hebreos: *Muchas veces y en muchas maneras habló Dios en otro tiempo a nuestros padres; en los últimos días nos habló por su Hijo*[442]. Y de nuevo en otro sitio dice: *Y no solamente eso, sino que también nos gloriamos en Dios, por nuestro Señor Jesucristo, por quien obtuvimos la reconciliación*[443]. ¿Ves que no sólo **[619]** se gloría por la reconciliación, sino también por haberla obtenido a través de Cristo? Y de nuevo, celebrando la resurrección, dice: *El Señor mismo bajará del cielo*[444].

Mira allí cómo todo se hizo por el Señor, y sin embargo aquí no lo ordenó a través de ningún esclavo, ni por un ángel ni por un arcángel, sino por Él mismo a Adán, honrando al hombre con un doble honor[445]: no sólo le dio la ley, sino que se la dio por medio de Él mismo.

Por consiguiente, ¿cómo se equivocó aquél? Por su propia negligencia. Y lo muestran cuantos recibieron la ley y no se equivocaban, sino que incluso hicieron mucho más de lo que les fue encomendado.

Pero puesto que veo que llegamos a este punto, voy a dirigir el sermón hacia otra disertación: mas vosotros conservad todo el tiempo lo dicho y recordadlo, y enseñad[446] a los que no escucharon; y que cada uno se preocupe de ello en la iglesia, en el ágora y en casa[447]. Pues no hay nada más grato que atender[448] a la palabra de Dios. Así pues, escucha qué dice sobre esto el profeta: *¡Cuán dulces son a mi paladar tus palabras, más que la miel y el panal para mi boca!*[449]. Por consiguiente, sirve este panal en la mesa vespertina, de manera que toda ella esté llena de placer espiritual. ¿No veis a los hombres ricos cómo después de los alimentos admiten a citaristas y flautistas? Aquéllos hacen de su casa un lugar de espectáculo; en cambio tú, haz

Universidad Pontificia de Salamanca

τὴν σὴν οὐρανόν· ποιήσεις δὲ οὐχὶ τοὺς τοίχους ἀμείβων, οὐδὲ μεταλλάττων τὰ θεμέλια, ἀλλ' αὐτὸν τὸν τῶν οὐρανῶν Δεσπότην ἐπὶ τὴν τράπεζαν καλῶν τὴν σήν. Οὐκ **[620]** ἐπαισχύνεται τὰ τοιαῦτα δεῖπνα ὁ Θεός. Ἔνθα γὰρ διδασκαλία πνευματική, ἐκεῖ καὶ σωφροσύνη καὶ σεμνότης καὶ ἐπιείκεια· ἔνθα ἀνὴρ καὶ γυνὴ καὶ παιδία καὶ ὁμόνοια καὶ φιλία. καὶ τοῖς τῆς ἀρετῆς συνδεδεμένοι δεσμοῖς, ἐκεῖ μέσος ὁ Χριστός. Οὐ γὰρ χρυσοῦν ὄροφον ζητεῖ, οὐδὲ ἀστραπὰς κιόνων, οὐδὲ κάλλη μαρμάρων, ἀλλὰ ψυχῆς ὤραν, καὶ διανοίας εὐμορφίαν, καὶ τράπεζαν δικαιοσύνης γέμουσαν, καὶ ἐλεημοσύνης καρποὺς ἔχουσαν. Κἂν ἴδῃ τοιαύτην τράπεζαν, ταχέως κοινωνεῖ τοῦ συλλόγου, καὶ παραγίνεται. Καὶ γὰρ αὐτός ἐστιν ὁ εἰρηκώς· Πεινῶντά με εἴδετε, καὶ ἐθρέψατε. Ὅταν οὖν ἀκούσῃς πένητος κάτωθεν μεγάλα βοῶντος, εἶτα ἀπὸ τῆς τραπέζης τῶν προκειμένων δῷς τι τῷ δεομένῳ, τὸν Δεσπότην ἐκάλεσας διὰ τοῦ δούλου πρὸς τὴν τράπεζαν τὴν σὴν, πᾶσαν αὐτὴν εὐλογιῶν ἐνέπλησας, καὶ διὰ τῆς ἀπαρχῆς ἀφορμὴν μεγίστην τοῦ πληθύνεσθαί σοι τὰ ταμεῖα ἀγαθῶν πολλῶν παρεσκεύασας. Ὁ δὲ Θεὸς τῆς εἰρήνης καὶ τῆς ἀγάπης, ὁ διδοὺς ἄρτον εἰς βρῶσιν, καὶ σπέρμα τῷ σπείροντι, πληθύνοι τὸν σπόρον ὑμῶν, καὶ αὐξήσειε τὰ γεννήματα τῆς δικαιοσύνης ἐν πᾶσιν ὑμῖν, τὴν παρ' αὐτοῦ χάριν διδοὺς, καὶ καταξιώσειε τῆς βασιλείας τῶν οὐρανῶν, ἧς γένοιτο πάντα ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ Πατρὶ δόξα, τιμὴ, κράτος, σὺν τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Universidad Pontificia de Salamanca

de tu casa un Cielo[450]. Lo harás, sin embargo, sin necesidad de cambiar las vigas de las paredes, ni los cimientos, sino llamando al Señor mismo de los Cielos a tu mesa. **[620]** Dios no se avergüenza de tales comidas. Pues donde hay enseñanza espiritual, allí también existe templanza, dignidad y equidad; donde hay un hombre, una mujer y unos hijos, allí también concordia y amistad; y en medio de los que fueron presos con las cadenas de la virtud, allí se halla Cristo. Pues no busca un techo dorado, ni resplandores de columnas, ni la belleza de los mármoles, sino cuidado del alma y hermosura de mente[451], una mesa repleta de justicia y con frutos de limosna. Y si ve una mesa semejante, rápidamente participa de la reunión y asiste a ella.

En efecto, Él mismo es el que ha dicho: *Me visteis hambriento y me alimentasteis*[452]. Siempre que escuchaste al pobre gritando fuertemente desde abajo, y a continuación le diste al necesitado algo de la mesa que estaba puesta, llamaste al Señor a tu mesa por medio del esclavo, llenaste toda ésta de bendiciones y con las primicias preparaste una gran ocasión para incrementar tus despensas con muchos bienes.

Ojalá que el Dios de la paz, el que da pan para comer y simiente al que siembra, multiplique vuestra cosecha y acreciente en todos vosotros los frutos de la justicia, dandoos su gracia, y os considere dignos del Reino de los Cielos[453].

Que todos nosotros lo alcancemos, por la gracia y la benignidad de nuestro Señor Jesucristo, por Él y con Él, gloria al Padre, al Espíritu Santo, ahora y siempre, por los siglos de los siglos. Amén.

Universidad Pontificia de Salamanca